ρυ νηπιόθεν λαβόντα): ἀλλὰ ἢ Μοναχὸν ὄντα ἐκτὸς χειροθεσίας Ἐπισκοπικῆς, ἢ τῶ οἰκείω Ἡγουμένω, (εἴγε δηλαδὴ ἢ αὐτὸς Ἱερεὺς ὢν, διὰ Ἐπισκοπικῆς χειροθεσίας εἰς προεδρίαν Ἡγουμενείας προήχθη) ἐπ' ἄμβωνος ἀναγινώσκειν ἐν τῇ Συναξει.

ΚΑΝΩΝ ΙΒ'. (α)

Οὐ δεῖ Κληρικὸν ἐν δυσὶ καταττεσθαι Ἐκκλησίαις, ἐν τῇ κλήσει γὰρ, ἢ ἐκλήθη μενέτω, κατὰ τὸν Ἀπόστολον. καὶ τοι ἐντισιν ὀλιγανθρωποις χωραις, παραχωρεῖται τὸ τοιοῦτον.

ΚΑΝΩΝ Ις'. (β)

Οὐ δεῖ Ἐπίσκοπον, ἢ Κληρικὸν, λαμπροῖς, ἢ σηρικοῖς (1) ἀμφιέννυσθαι ἱματιοις, ἀλλ' ἐν τοῖς ἀκροις αὐτῶν ἑτερύχροα προσιθέναι, ἢ μύρα, χρίεσθαι. οἱ δὲ ἐπιμένοντες τῇ τοιαύτῃ πολυτελείᾳ, καθὼς ἢ οἱ ἐγγελῶντες τῇ εὐτελείᾳ διορθοῦσθωσαν, ἢ ἐπιτιμάσθωσαν (2). οἱ γὰρ τὰ μαλακα Φορεντες, κατὰ τὴν Γραφὴν, ἐν τοῖς οἴκοις, κξ'.

ΚΑ-

(α) Ἄπος'. ιέ. τῆς ά. ιέ. ις'. τῆς ὅ'. έ. ά. Κορινθ'. ζ'. 20. 24.
(β) Τῆς ς'. κζ'. Γαγγρ. ιϐ'. Ματθαῖος ιά. 2.

χαὶ ἀφορισθώτες, οἵτινες εἶχον χειρὰν μόνον ἐπὶ τῆς κεφαλῆς ἀδεμίαν δὲ εὐχὴν προχειρήσεως Ἀναγνώσεως, ἢ ἄλλως τῶ βαθμῶ Ἐκκλησιαστικῶ (Ζωναρ.), εἰ γὰρ εἶχον τὴν τοιαύτην χειρὰν διὰ χειροθεσίας τῶ ἐγχωρίου Ἐπισκόπου, καίτοι νηπιόθεν, ἐφέτο ἂν αὐτοῖς (κατὰ τὸν Βαλσαμ.) ἀναγινώσκειν.

(1) Σῆρες, ἔθνος τῆς μεγάλης Ταρταρίας, συνορεύων τῇ Κίνᾳ, ἤτοι τοῖς Σινοῖς, ὧν οἱ δρυμοὶ ἐπιτελοῦσι νῆμα λεπτὸν ὡς ἰσὸν ἀράχνης, διὸ καὶ τὰ Σηρικὰ ὅρα Μελέτιον Γεωγράφον (σελίδι 568. ἢ 570.). ὁ δὲ Ζωναρᾶς (ὡ ἢ Ἐκκλησιαστικῆ Ἱστορίᾳ αὐτῶ, σελ. 56. 54. τόμ. γ'.) ὡ τοῖς χρόνοις τῶ Ἰουστινιανῶ τῶ ά. Φησι, δύω Μοναχοὶ ἐξ Ἰνδίας ἀφικόμενοι ἤνεγκαν εἰς τὸ Βυζάντιον τὰ τῶν Σηρῶν νήματα, ἤγουν τὴν μέταξαν, ὡὰ τὰ τούτων τῇ κόπρῳ ὡθέμενοι, ἃ ἢ ὡ αὐτῇ μέχρι πολλῶ ζωρὰ συντηρήσαντες, εἰς σκώληκας αὖθις μετήμειψαν, καθὼς ἤδη τοῖς πᾶσιν εἰσὶ γνωριζόμενα. (2) Ὅρα ἢ Δευτερονόμιον κεφ. κϐ'. 11. περὶ τῆς ποικιλλότητος τῶν ἱματίων. ἢ Ματθαῖος, ιά. 8.

ΚΑΝΩΝ ΙΖ'. (α)

Οἱ ἐγχειρῦντες μὲν κτίζειν οἶκον εὐκτήριον (1), ἀπορῦντες δὲ τῶν πρὸς ἀπαρτισμὸν, κωλυέσθωσαν παρὰ τῦ Ἐπισκόπυ. οἱ δὲ εὐπορῦντες, παραχωρείσθωσαν.

ΚΑΝΩΝ ΙΗ'. (β)

Οὐ δεῖ γυναῖκας ἐνδιαιτᾶσθαι ἐν Ἐπισκοπείοις, ἢ ἐν Μοναστηρίοις " Ἀπρόσκοποι γάρ φησι γίνεσθε καὶ τοῖς ἔξωθεν. ὅθεν καθαιρεῖται ὁ μὴ ἐξοικίζων ταύτας. Καὶ ἐν Προαστείῳ (2) δὲ, εἰ τύχοι γυναῖκας, μηδόλως διακονείτωσαν παρεισιάζουσαι, εἰ ἀπελθῃ ἐκεῖσε Ἐπίσκοπος, ἢ Ἡγούμενος, ἕως ἂν ὑποχωρήσῃ ἐκεῖθεν.

ΚΑΝΩΝ ΙΘ'. (γ)

Εἴτις διὰ χρυσίου εἰσδέχεται τὲς προσερχομένους τῷ Ἱερατικῷ, ἢ μονήρει τάγματι, ἢ παυσάσθω (3), ἢ καθαιρείσθω. ὁ δὲ ἀνιερεὺς (4) Ἡγούμενος, μετατιθέσθω εἰς ἄλλο Μοναστήριον πρὸς τὸ ὑπο-

(α) Τῆς δ'. δ'. κθ'. τῆς αβ'. ά. (β) Τῆς ά. γ'. τῆς ς'. έ. τῆς ζ'. κβ'. ὅρα καὶ ά. Κορινθ'. ί. ζ 2. (γ) Ἀποστ. κθ'. τῆς δ'. β'. τῆς ς'. κβ'. κγ'. Βασιλ'. ιή. Ἐπιστολὴ Γενναδίου καὶ Τιμοθέου.

(1) Η', ολά. κεμιώη, ὡ βιβλ'. έ. τῶν βασιλικῶν τίτλῳ γ'. κεφαλ'. δ'. καὶ έ. (παρὰ Φωτίῳ τίτλ. γ', κεφ. ιδ'.), καὶ τίτλ. ια'. κεφ. ιά. καὶ γ'. διάταξις τῦ β'. τίτλυ τῶν Νεαρῶν θεσπίζει, " ὥστε τὸν βυλόμενον οἰκοδομῆσαι οἶκον εὐκτήριον, ἢ Ἐκκλησίαν, ἢ Μοναστήριον, διαλεγέσθαι περὶ τύτυ τῷ τῆς πόλεως Ἐπισκόπῳ, καὶ δωρεῖσθαι τὰ ἀρκοῦντα πρὸς τὴν λυχνοκαΐαν, καὶ τὴν ἱερὰν λειτυργίαν, καὶ τὴν ἀδιάφθορον τῦ τόπυ τήρησιν καὶ τὴν ἀποτροφὴν τῶν προσεδρευόντων; " καὶ τότε τὸν Ἐπίσκοπον τὸ πρᾶγμα πᾶσι φανερῦντα, δημοσίᾳ ἐκεῖσε προσιέναι, καὶ σὺν " εὐχῇ πηγνῦναι χαρακτῆρα. καὶ τότε τῦ ἔργυ ἄρχεται. (2) Τὸ προάστειον δὲ τῦτο, εἴτε τῆς Ἐπισκοπῆς ἐστιν, εἴτε τῦ Μοναστηρίυ.

(3) Ο' Β'. τῆς δ'. λέγει, καθαιρείσθω ὁ ἐπὶ χρήμασι χειροτονῶν. ὅτος δὲ λέγει, ἢ παυσάσθω, ἢ καθαιρείσθω. ἴσως ἂν ὁ τῆς δ'. λέγει περὶ τῶν χειροτονημένων. ὁ δὲ τῆς παρύσης, περὶ τῶν μόνον εἰς κλῆρον τατταμένων (προκεχειροτονημένων δηλαδὴ ὄντων) ἢ χειρομένων μόνον εἰς μετριώτερον τὸ ἀνόμημα. ἢ ἔποιτις ἂν ὅτι συμφωνεῖ τῷ ιή. τῦ Βασιλ'. ὅτος ὁ Κανών. (4) Ἐκ τύτυ γίνεται δῆλον, ὅτι ἐκχωρεῖται, καὶ ἀνιέρως γίνεσθαι Ἡγούμενος.

ὑποταγῆναι. Ὅσα δέ τις οἰκεῖα πράγματα ἀφιερώσῃ τῷ Μοναστηρίῳ μονάσας, ταῦτα μένειν (1) ἀναφαίρετα, κἂν ἐκεῖθεν ἔτος ὑποχωρήσῃ, (εἰ μὴ ἡ αἰτία εἴη ἐκ τῆς Ἡγουμένης).

ΚΑΝΩΝ Κ'. (α)

Οὐ δεῖ γίνεσθαι διπλᾶν Μοναστήριον. ὅσα δὲ ἕως τῆς νῦν ἐγένοντο, κατὰ τὴν διαταγὴν τῆς μεγάλης Βασιλείας διατυπώθωσαν. ἤγουν μὴ διαιτᾶσθωσαν ἐν ἑνὶ Μοναστηρίῳ, Μοναχοὶ, ἢ μονάστριαι (2), (μοιχεία γὰρ μεσολαβεῖ τὴν συνδιαίτησιν). μὴ ἐχέτω Μοναχὸς παρρησίαν πρὸς Μονάστριαν ἰδίᾳ προσομιλεῖν, ἢ ἀνάπαλιν, ἢ τὰ ἑξῆς.

ΚΑΝΩΝ ΚΑ'. (β)

Οὐ δεῖ ἀθετεῖν (3) τὸν Μοναχὸν τὴν ἰδίαν Μονὴν, ἢ ἐν ἑτέρᾳ ἀπερ-

(α) Τῆς ς'. μζ'. τῆς ζ'. ιή. κβ'.
(β) Τῆς δ'. δ'. τῆς αβ'. δ'. Καρθαγ'. πή. τῆς ζ'. ιθ'.

(1) Καὶ ἡ Δευτέρα Διάταξις τῆς ά. τίτλ. τῶν Νεαρ. διορίζει, ὅτι ἐὰν Μοναχὸς ἐάσας τὸ εἰς ὃ ἦν Μοναστήριον, ἀπέλθῃ εἰς ἄλλο· τὰ αὐτῆς πράγματα δέον μένειν τῷ πρώτῳ Μοναστηρίῳ. εἰ δὲ λάβοι αὐτὰ ὄπισθεν διὰ τὴν αἰτίαν τῆς προειρῆσθαι, εἰς οἰκείαν ὅμως ὑπηρεσίαν τούτοις ἧκιστα χρήσεται, ἀλλὰ πάλιν εἰς Μοναστήριον αὐτὰ προσαγαγεῖν ὀφείλει, ὡς ἅπαξ καθωσιωμένα. (2) Ὅρα ἢ τὴν ς'. διάταξιν τῆς, ά. τίτλ. (Φωτ'. τίτλ. ιά. κεφ. ά.) βλέπε ἢ τὸν Προφήτην Ζαχαρίαν, κεφ. ιβ'. 12. 13. χωρίζοντα τοὺς ἄνδρας ἀπὸ τῶν γυναικῶν ὡς καιρῷ θρηνώδει. σκόπει ἢ Βασίλ. (κατὰ πλάτος ὁρῷ. λγ'. ἢ ὡ τοῖς κατ' ἐπιτομὴν, ὁρῷ σχ'. ἢ σπά.) ἢ Νικηφ'. (Κανόνα, κβ'.). εἰσίκασι δὲ οἱ κατοικοῦντες τὰ τοιαῦτα διπλᾶ Μοναστήρια, ἔξωθεν κατοικεῖν ἀλλήλοις, ὥστε ἢ ἀμφω ἀλλήλων ἀκούειν (Ζωναρᾶς δὲ, Βαλσαμών, ἢ ἄλλοι θέλουσιν ἓν εἶναι Μοναστήριον, ἀλλὰ συζυγεῖς τοὺς οἰκοῦντας.

(3) Κατὰ τρεῖς τρόπους διώκεται τις τῆς οἰκείας Μοναστηρίου, ἢ ὡ ἄλλῳ τίθεται Μοναστηρίῳ εἰς τὸ ὑποταγῆναι, ἤγουν Α'. μὲν, ὁ Ἡγούμενος, ἢ ἡ Ἡγουμένη διώκονται, οἱ ἐδέξαντο χρήματα παρὰ τῶν προσερχομένων εἰς τὸ μονάσαι (Καν'. ιθ'. τῆς ζ'.). Β'. δὲ, ὁ χωρὶς ἀναδόχου χειραμένος ἢ κείρας (Καν'. ε'. τῆς αβ'.). ἢ Γ'. ὁ πρὸ τῶν τριῶν χρόνων τῆς πείρας, χειραμένος ἢ κείρας (Καν'. έ. τῆς αὐτῆς αβ'.). ἀλλ' ἔτοι ἴσως ὑπὸ τῆς οἰκείας Ἐπισκόπου φυγαδεύονται, ὁ δὲ ἁμαρτάνων, ἢ μὴ διορθύμενος

ἀπέρχεσθαι ἄνευ τῆς τοῦ Ἡγουμένου γνώμης, ἐκτὸς μόνον τοῦ ξενοδοχηθῆναι.

ΚΑΝΩΝ ΚΒ'. (α)

Οἱ Λαϊκοὶ συνεσθίοντες γυναιξὶν, ἀδιάβλητοί εἰσι μόνον μετ' εὐχαριστίας τῆς πρὸς Κύριον. ἐὰν ὅμως μεσολαβῶσι ἢ αὐτῶν ἐν ταῖς τραπέζαις σατανικὰ ἀσματα, ἢ λογισματα, ἢ διορθώσθωσαν, ἢ κρατειτωσαν ἐπ' αὐτοῖς οἱ τῶν πρὸ ἡμῶν Κανονες, διὰ τὰ τῆς Γραφῆς. τοὺς δὲ Μοναχοὺς, ἢ Ἱερατικοὺς, ὅτε συγγενεσι γυναιξὶ συνεσθίειν εἰκὸς, εἰ μὴ συμπαρεισιν εὐλαβεῖς ἄνδρες τε, ἢ γυναικες. οἱ αὐτοὶ δὲ ἢ ἐν Πανδοχείῳ, ἢ ἐν οἴκῳ τινὸς καταλῦσαι ἐξ ἀναγκης ἐκχωρεῖνται, ἐὰν τυχωσιν ἐν ὁδοιπορίαις (1).

ΟΙ ΤΗΣ

(α) Ἀποστ. μβ'. μγ'. τῆς ἁ. γ' Ἡσαΐου ε'. 12. ἢ ἁ. Κορινθ. 10. 31.

μενος, ἀλλὰ παράσσων ἢ σκανδαλίζων τὴν κοινότητα, ἀποβάλλεται τοῦ Φροντιστηρίου ὑπὸ τοῦ οἰκείου Προεξώτος. ὅρα Εὐεργετιν. σελίδι. 1098. ἢ Νικηφ. κγ'. τὴν σημείωσιν. Ἀπροκριματίσως δὲ ἀναχωρεῖ τις ἐκστασις, διὰ τὰς ἑφεξῆς αἰτίας. Α'. εἰ αἱρετικός ἐστιν ὁ Ἡγούμενος (ιζ'. Νικηφ.). Β'. εἰ βιάσασι γυναῖκες (αὐτόθ.). Γ'. εἰ κοσμικὰ παιδία μαθητεύονται γράμματα ἐν αὐτῷ τῷ Μοναστηρίῳ (αὐτόθ.). εἰ δὲ ἀλόγως ἀναχωρήσῃ, ἢ μὴ ὑποστρέψῃ, ἀφορίζεται ἐξ ἁ. τῆς αβ'. δ'.). ὁ δὲ μέγας Βασίλ. (τόμ. β', σελίδι 381. ὅρα κατὰ πλάτος, λς'.) διὰ μόνην μίαν αἰτίαν ἐκχωρεῖ τὸ ὑποχωρῆσαί τινα τῆς ἰδίας Μονῆς ἀπταίστως, ἤγουν διὰ τὴν βλάβην τῆς ψυχῆς, ὑποδηλωμένην τῷ Προεστῶτι, ἢ μὴ διορθωμένην. Καὶ τοῦτο μὴ μόνος κρινέτω, ἀλλ' οἱ τὰ τοιαῦτα κρίνειν ἱκανοί. ὁ δὲ Νικόλαος Καν. ς'. ἢ δεσμῷ εἰς τὸ μὴ ἀναχωρῆσαι ὅτε βλαπτόμενος, παρ' ἐκείνῳ εἰ ὑποβληθῇ φησι, μὴ ὅλως φροντιζέτω.

(1) Τὸν δὲ Μοναχὸν ἀνέκδοτον φησιν ἡ τοῦ χαρτοφύλακος Πέτρου διάλεξις (παρὰ τοῖς Συνοδικ. πρακτικ. τόμ. ἁ. σελ. 23. ἐν τῇ ἀρχῇ εἰς τὴν ἐπιτομὴν τῶν Καν'. τμήματι δ'. ἐπιγραφῇ β'. ἢ ὡ τῷ ϛ', τόμ. τῶν αὐτῶν πρακτικῶν, σελ. 1001.) δέγεσθαι παιδία ἀπὸ βαπτίσματος, ἢ κρατεῖν στεφάνους γάμων, ἢ ὡς ἀναδόχον ἐν αὐτοῖς, ἢ ὡς εὐλογοῦντα αὐτούς.

ΟΙ ΤΗΣ ΕΝ ΤΩ ΚΑΤΑ ΤΗΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥ-ΠΟΛΙΝ ΤΩΝ ΑΓΙΩΝ ΑΠΟΣΤΟΛΩΝ ΝΑΩ ΑΓΙ-ας ἁγ μεγαλης Συνοδε, Πρωτης ἁγ Δευτερας λεγομένης, Κανονες ἑπταικαίδεκα.

Προθεωρία περὶ τῆς αὐτῆς Συνόδε.

Ἡ Πρώτη ἁγ Δευτερα, ἔτι δὲ μεγαλη ἁγ ἁγία λεγομένη Σύνοδος τῶν, τιή, Πατέρων, γέγονε μετὰ, οὲ. ἔτη τῆς ζ'. Βασιλεύοντος μὲν Μιχαὴλ Γιὲ Θεοφίλε τὲ εἰκονομάχε, Πατριαρχέντος δὲ τὲ Φωτίε (1), ἀθροισθεῖσα ἐν τῷ κατὰ τὴν Κωνσαντινούπολιν Ναῷ τῶν ἁγίων Ἀποσολων. ἐν ἔτει ἀπὸ Χρισὲ. ωξά. Ἐπιγράφεται δὲ. Α'. ἧ Β'. καί τοι μία ὖσα, εἴγε ἐπὶ μὲν τῆς ἁ. αὐτῆς συνελεύσεως, διὰ τὴν ἐν αὐτῇ συμβᾶσαν ξάσιν τῶν ἑτεροδόξων, ὁδὸν ἤνυσαμ. ἐπὶ δὲ τῆς Β'. συνεγράφησαν οἱ Κανονες οἵδε.

ΚΑΝΩΝ Α'. (α)

Μήτε οἰκοδομὴν γίνεσθαι Μοναξηρίε, μήτε ἐπισασίαν Ἡγεμονείας ἐν αὐτῷ αὐτὲ τὲ οἰκοδομήσαντος, χωρὶς τῆς γνώμης ἧ τῆς ὀφειλομένης εὐχῆς τὲ Ἐπισκόπε, ἀλλὰ τὸ μὲν Μοναξηριον, οἰκοδομεῖσθαι. ἐν βρεβίῳ (2) δὲ καταγραφεῖσθαι (3) αὐτό τε, ἧ τὰ ἐν

(α) Τῆς δ'. δ'. κθ'. τῆς ς'. μθ'. τῆς ζ'. ιζ'.

τα αὐτός. (1) Μελέτιος Ἀθηνῶν (Ἐκκλησιαστικ. Ἱστορία τόμ. ζ'. σελ. 293, 294.) παρ' ᾧ κεῖται ἧ ὅτι ὁ Νικόλαος Ῥώμης λοιδορικὴν αὐτὴν καλεῖ ἧ ψευδοσυνοδον. ὁ δὲ Βαλσαμ. ἐν τῇ ἀρχῇ τῆς κατὰ ταύτην ἐξηγήσεως, ἧ οἰκουμενικὴν αὐτὴν καλεῖ ἧ κατὰ τὲ Πατριάρχυ Ἰγνατίε συγχρειτεῖσθαι λέγει. καθὼς ἧ ὁ αὐτὸς Μελέτιος (αὐτ βι ὥθα ἀνωτερω.). (2) Λατινικὴ ἡ λέξις. Βρέβιον γὰρ κατ' ἐκείνους, τὸ τέμνω. σύντομος ἢν ἀπογραφὴ, ἧ Κώδιξ, ἧ κατάσιχον τὸ Βρέβιον. (3) Ἅμα δηλαδὴ αὐτῷ τῷ οἰκοδομεῖσθαι.

τὰ ἐν αὐτῷ ἀφιερωθέντα, ἢ τῇ Ἐπισκοπῇ ἐναποτίθεσθαι τὸ τοιοῦτον βρέβιον. ἐπεὶ ἐκεῖ αὐτῶν ὁ ἀφιερώσας (1) κυριεύει, (ὡς τῷ Θεῷ ἀνατεθέντων), ἀλλὰ τὸ Ἐπισκοπεῖον.

ΚΑΝΩΝ Β'.

Οὐ δεῖ χειρεσθαι Μοναχὸν ἄνευ παρρησίας τῆ εἰς ὑποταγὴν αὐτοῦ ἀναδεξομένου (2) θεοφιλοῦς ἀνδρὸς (3), ἢ Μονῆς προεστῶτος. ἢ καθαιρείτω μὲν ὁ χειρας (4), ὁ δὲ χειραμενος, εἰς Μοναστήριον, ὃ ἂν ὁ Ἐπίσκοπος δοκιμάσῃ, εἰσαγέτω πρὸς ὑποταγήν.

ΚΑΝΩΝ Γ'. (α)

Οἱ τὰς ὑΦ' ἑαυτὰς Μοναχὰς ἀποδιδράσκοντας (5) τῆς Μονῆς μὴ ἀναζητοῦντες ἐμμελῶς κατὰ Προεξῶτες ἐπιτρεψαι, ἢ ἀναχτήσασθαι τὸ γενοφηκὸς (6) ἀφοριζόνται. εἰ γὰρ ὁ ἀλόγων ζώων τὴν προσασίαν ἐγχειριζόμενος, ἢ τὰ ποίμνια καταμελῶν, οὐκ ἀτιμώρητος· πολλῷ μᾶλλον ὁ τῶν Χριστοῦ θρεμμάτων.

ΚΑ-

(α) Τῆς δ'. δ'. τῆς ζ'. ιθ'. καὶ. Καρθ. πή.

(1) Εἴτ' ἂν ὁ δομήτωρ τοῦ Μοναστηρίου. (2) Ἐξ ἀνάγκης μεγάλης γίνεται ὁ αὐτὸς ἢ χειρευς ἢ ἀναδεχος, μὴ ὄντος δήλονότι. (Συμεὼν Θεσσαλον. περὶ μετανοίας, κεΦ. σεδ'.). (3) Ὅρα τὸν Ἀσκητικὸν λόγον τοῦ μεγάλου Βασιλ. ἵνα μὴ τὸν ἅπαξ ἀρχόμενον. Δεῦτε πάντες οἱ κοπιῶντες. ὦ ὡς τὰς ἀρετὰς ἐκλέγειν δεῖ τὸν Ἡγούμενον καταγράΦει. ὅρα ἢ τὴν Φιλοκαλ. ὡς τῶν ιθ'. κεΦ. τοῦ Καλλιστ. σελ. 1026. (4) Κατὰ δὲ τὸν Πηδάλιον, παραΦαίζοντα Διατύσιον τὸν Ἀρσαγ. (εἰς τὸ ς'. κεΦ. περὶ τῶν πελαγιῶν τάξεων. Τόμ. α' σελ. 211.) ἢ δεῖ σχῆμα Μοναχὸν Ἐπίσκοπον διδόναι· ἀλλ' ἢ μόνον Πρεσβύτερον. Φησὶ γὰρ ὁ ἅγιος αὐτόθι. Τελεστὴν αὐτοῖς (τοῖς Μοναχοῖς) ἐδωρήσατο χάριν ἡ ἱερὰ θεσμοθεσία, καίτινες αὐτοὺς ἠξίωσαν ἀΦιερωτικῆς ἐπιτάξεως ἀρχιερατικῆς, (ἐκείνη γὰρ ἐπὶ μόναις γίνεται ταῖς ἱεραρτικαῖς τάξεσιν) ἀλλ' ἱερατικῆς· ὑπὸ τῶν ὁσίων Ἱερέων. Καίτοι ἡ πατριαρχικὴ πρᾶξις (παρὰ τὸ Χρυσὰ θῶ ἐις τὸ συντάγ'. σελ κε' καὶ) ἢ τὸ τοῖς Ἀρχιερεῦσι δηλαδὴ συνδίδωσι τὸ χειρεῖν Μοναχούς· ἀλλ' ἔοικεν ἀξιοπιστότερα εἶναι τὰ τοῦ Διατυσίου. (5) Ἀπόδρασις τῶν Μοναχῶν ἡ ἀναχώρησις ὀνομάζεται ἐκ τοῦ ἰδίου Μοναστηρίου· ὡς τῶν Φυγάδων δέλεαρ, ἢ τῶν Φυλακὴ ὅλως πασάντων τὰ δεσμὰ ἢ Φυγόντων λαθραίως ἐστί. (6) Ὅρα τῆς ζ'. τοῦ, καὶ. τὴν σημείωσιν.

ΚΑΝΩΝ Δ'. (α)

Περὶ τῶν καταλιπόντων τὰς ἑαυτῶν Μονὰς ἐν καιρῷ διωγμοῦ, ἢ μετὰ τοῦτον μὴ ἐπανελθόντων, ἀλλὰ τὸ τῆς ὑποταγῆς σκῆπτρον διασπώντων, ὅτι σὺν τῷ ὑποδεξαμένῳ τούτους ἀφορίζονται ἐκτὸς εἰ μή, ὡς μαρτυρημένοι ἐπ' ἀρετῇ, διορίζοιντο ὑπὸ τοῦ Ἐπισκόπου ἐπὶ καταστάσει ἀγαθῇ Μονῆς τινὸς ἑτέρας, ἢ κοσμικῆς οἰκίας ἢ ἄλλου τινός.

ΚΑΝΩΝ Ε'.

Τριετίαν (1) δοκιμαζέσθωσαν τοὺς μοναζοντας, ἢ τοῦτο κρατεῖν παντὶ τρόπῳ. ὅσοι δὲ ἢ ἐν τῷ κοσμῷ κατὰ Μοναχοὺς ἔζων, ἀπόχρη ἢ ἐξαμηνον δοκιμασθῆναι, ὥσπερ ἢ τοῖς βαρέως νοσήσασι κολοβοῦται ὁ χρόνος. ὁ δὲ παρὰ ταῦτα διαπραξάμενος ἡγούμενος, ὑποτασσέσθω. ὁ δὲ μοναστὰς, ἐν ἑτέρᾳ μονῇ παραδιδόσθω, τὴν Μοναχικὴν ἀκρίβειαν διατηρεῖν.

ΚΑΝΩΝ ς'. (β)

Πάντα τὰ ἑαυτοῦ ὁ Μοναχὸς πρὸ τοῦ μοναστῆναι, δύνασθαι (1) ὡς βούλε-

(α) Τῆς δ'. δ'. τῆς ζ'. ιθ'. καὶ. Καρθ. πή.
(β) Πράξ. Ἀποσ. δ'.

(1) Σημείωσαι ὅτι ἡ ιγ'. διάταξις τοῦ α'. τίτλ. τῶν Νεαρ. τρία ἔτη διορίζει ἢ αὕτη παραμένειν δοκιμάζοντας τοὺς τοιούτους ἐν τῷ Μοναστηρίῳ μετὰ τῶν κοσμικῶν ἀμφίων, περὶ ὧν ὅρα ἢ Νικολάου (α'. σημ'.) ἐκ τούτου δὲ τοῦ Καν'. ἐκ ἀποδεκτέαν ἔστεται εἶναι τὴν ρκγ'. Ἰουστιν. Νεαρὰν, τὴν ἐπὶ τῷ Ἡγεμόνῳ ἐπιτρέπουσαν τὸν χρόνον τῆς δοκιμασίας τοῦ μέλλοντος μοναστὴν, μόνον ἐὰν γνωρίζεται, ὡς φησιν, ὅτι εὐθεμιτῷ τύχῃ ὑποκείται. ὅρα ἢ σημείωσιν ἐν τῷ μέ. τῆς ς'. ἐκ τούτου συνάγεται ἔτι ἢ ὅτι ὁ δοκιμάζων ἐν Μοναστηρίῳ κοσμικὸς ἔλαχε ἐν τοῖς τῆς τριετίας μὴ ἀποκαρῆ, ἤτοι αὐτὸς μὴ ἀποσκόμενος τῇ ἀδελφότητι, ἢ ἐκείνης αὐτῷ, παρανόμως τοῦ λοιποῦ τὴν μετ' ἐκείνων συναυλίαν ποιεῖται.

(2) Ἡ'. ρκγ'. Νεαρ. τοῦ Ἰουστιν. κεφαλ. εἰς δ'. βιβλ'. τῶν βασιλικῶν, τίτλ. α'. (παρὰ Φωτ' τίτλ. ια'. κεφ. α'.) διορίζει ὥστε. ἔλαχε ὁ ἀποκαρεὶς, ἔχων ἡλικ. πρὸ τῆς ἀποκάρσεως, ἐκ ἀφῆκε κλῆρον εἰς αὐτὸν, δύνασθαι ἢ μετὰ ταύτην διελεῖν εἰς ἐκείνους τὴν ἰδίαν οὐσίαν ἢ ἑκάστῳ προσκληρῶσαι τὸ νόμιμον μέρος ἀκαινοτόμητον. συγκαταριθμεῖσθαι μέ-

τρ.

βέλεται, κατὰ νόμους δηλαδὴ (1) διαθέσθαι. μετὰ γάρ τοι τὸν μοναχὸν, οὐκέτι αὐτὸς, ἀλλὰ τὸ Μοναστήριον ἐκείνων ἁπάντων κυριεύει (2). Εἰ δέ τις Φωραθείη κτῆσιν ἔχων μετὰ τὸ καρῆναι, ὁ ἡγού-

---

τοι καὶ κοινὸν τοῖς ἑαυτοῦ παισὶν, οἷον ἐὰν ἔχῃ τρεῖς υἱοὺς, συμποσοῦσθαι καὶ αὐτοὺς ὥστε γίνεσθαι τέσσαρα πρόσωπα, καὶ ἑπομένως, καὶ μέρη τέσσαρα, καὶ τὸ ἐπιβάλλον αὐτῷ τῷ Πατρὶ τέταρτον μέρος, λαβεῖν τὸ Μοναστήριον, καὶ ἀδιάθετος εἶναι ἀποθνῄσκων τῷ Μοναστηρίῳ, τὸν αὐτὸν τρόπον ἡ ἐκείνου ὕπαρξις διανεμέσθω. ὁ δὲ Ζωναρ. καὶ Βαλσαμὼν βέλεσι τὴν διανομὴν ταύτην τὴν κατὰ κληρονομίαν, οὐ μόνον τοῖς παισὶν, ἀλλὰ καὶ τοῖς γονεῦσιν ἐξαπλοῦσθαι. ὅρα καὶ τῆς ὠ Γάγρα, Κανὼν ιε'. ιϛ'. Ἄλλως δὲ ἐκ πλαγίας συγγενεῖς οὐκ ἀναγκάζονται ποιεῖν κληρονόμους οἱ μοναζοντες, ἄνευ τῆς οἰκείας προαιρέσεως. ἀπὸ δὲ τῶν ὧν ἐκτήσατο ὡ τῷ Μοναστηρίῳ ἐπ' ὀνόματι αὐτοῦ τοῦ Μοναστηρίου, οὐ δύνανται κληρῶσαι τοῖς υἱοῖς αὐτῶν, ἢ γονεῦσι, καθὼς καὶ οἱ Ἐπίσκοποι καὶ Κληρικοὶ, (Καρθ. μ'.). τὰ δὲ ἀπὸ κληρονομίας, ἢ τινος ἄλλης φιλοτιμίας κτηθέντα ὑπὸ τῶν τοιούτων Μοναχῶν, δύνανται (γνώμῃ τοῦ Ἡγεμόνος) κληροδοτεῖσθαι τοῖς ἑαυτῶν συγγενέσιν. ἐκ τῶν Κληρικῶν γὰρ ἦγον ἐκ τοῦ προειρημένου, μ'. Κανόν. τῆς Καρθ. δυνάμεθα συμπεραίνειν καὶ τὰ τῶν Μοναχῶν. λέγει γὰρ καὶ ὁ Νόμος, „ ἐκ τῶν ὁμοίων δεῖν ἑκάστῳ κρίνειν τὰ ὅμοια. λέγει δὲ καὶ ὁ μέγ. Βασιλ. (ὅρῳ κατὰ πλάτ. ἐρωτ. θ'.) „ τὸν ἐξερχόμενον τῶν ἰδίων σκοπῷ τοιούτῳ (ἦγον τὸν προαιρούμενον μονάσαι) οὐ χρὴ καταφρονητικῶς περὶ τῶν διαφερόντων αὐτῷ διακεῖσθαι, ἀλλὰ πειρᾶσθαι πάντα μετὰ ἀκριβείας λαβόντα, ὡς τῷ Κυρίῳ λοιπὸν ἀφιερωμένα, μετὰ πάσης εὐλαβείας οἰκονομεῖν, εἰδότα, ὅτι οὐκ ἀκίνδυνόν ἐστιν, ὅτε τὸ προσαφεῖναι τοῖς οἰκείοις, ὅτε τὸ διὰ τοῦ τυχόντος οἰκονομεῖσθαι. κξ'. εἰ δὲ ἀγνώμονές τινες συγγενεῖς αὐτοῦ κρατοῦσι τὰ αὐτοῦ, εἰπάτω μὲν αὐτοῖς ὅτι ἀφοσιοῦσι ταῦτα κρατοῦντες, μὴ μὴν δικάζεσθαι περὶ αὐτῶν ἐπὶ δικαστηρίων ἐξωτικῶν, κατὰ τὸ, τῷ θέλοντί σοι κριθῆναι, καὶ τὸν χιτῶνά σου λαβεῖν, ἄφες αὐτῷ καὶ τὸ ἱμάτιον (Ματθ. ε'. 40.) ὡ δὲ τοῖς κατ' ἐπιτομὴν ὅρ. (ρπζ'.) ἀναγκαῖον λέγει τοὺς οἰκείους ἀποδιδόναι τὰ ἐπιβάλλοντα τοῖς προσερχομένοις τῷ Κυρίῳ, καὶ μηδὲν ὑφαιρεῖν. ἵνα μὴ τῷ κρίματι τῆς Ἱερουσαλὴμ ὑποπέσωσιν. ὅταν δὲ διανέμωνται, μὴ ἔξωσαν παρόντες οἱ κύριοι τούτων τῶν διανεμομένων, ἵνα μὴ ὑπεραίρωνται. (1) Ἦγον εὐσεβέσι, καὶ γνησίοις, ἀλλὰ μὴ νόθοις παισὶ καταλιπεῖν. (2) Ἀλλὰ τοῦτο γίνεται (Φησὶν ὁ Ζωναρ.) ὅταν μὴ παῖδας, ἢ γονεῖς ἔχῃ. οἷς ἀναγκάζεται τὸ σύμμετρον μέρος καταλιπεῖν.

Ἡγέμονος, ἢ ὁ Ἐπισκοπὸς πωλησάτω αὐτὴν ἐπὶ παροικίᾳ πολλῶν, καὶ διανεμάτω τοῖς πτωχοῖς· τὸν δὲ ὑπασπίσαντα ταύτην, ἐπιτιμίῳ πρασήκοντι σωφρονισάτω.

ΚΑΝΩΝ Ζ'. (α)

Μὴ ἐνεργεῖν τὸν Ἐπίσκοπον ἴδιον (1) Μοναστήριον ἐπὶ καταλύσει τῆς ἰδίας Ἐπισκοπῆς. εἰ δὲ τοιοῦτόν τι γένηται, αὐτὸς μὲν τῷ προσήκοντι ἐπιτιμίῳ ὑποβαλλέσθω· τὸ δὲ καινουργηθὲν ὑπ' αὐτοῦ ὡς εἰ μηδὲ Μοναστήριον ἐγένετο ὅλως, τῇ Ἐπισκοπῇ προσκυρούσθω (2) ὡς ἰδιοκτήτου ταύτης.

ΚΑΝΩΝ Η'. (β)

Περὶ τῶν εὐνεχιζόντων ἑαυτοὺς, ἢ ἑτέρους, αὐτοχειρίᾳ, ἢ ἐξ ἐπιταγματος, ἢ διὰ νοσημα, ὅτι καθαιρεῦνται οἱ Κληρικοὶ, ἀφορίζονται δὲ οἱ Λαϊκοί.

ΚΑΝΩΝ Θ'. (γ)

Ὅτι μηδένα ἄνθρωπον ἢ ἀταχτεῦντα, δεῖν Ἱερεῦσι τύπτειν ἀμέσως, ἢ ἐμμέσως, ἐπεὶ καθαιρεῦνται. διὰ δὲ τῶν Ἐκκλησιαστικῶν ἐπιτιμίων ἢ τῶν κατὰ τόπους ἀρχόντων, (τὸν παντελῶς ἀνυποταχτεῦντα) ἐδεμία κωλύμη σωφρονίζεσθαι.

ΚΑΝΩΝ Ι'. (δ)

Ἐκ τῶν ἐν τῷ Θυσιαστηρίῳ, εἴτε τι ὑφαρπάσωσί τινες, εἴτε εἰς ἀνιερον χρῆσιν ἀποχρήσωνται, καθαιρεῖσθωσαν παντελεῖ καθαιρέσει. ἐκ δὲ τῶν ἔξω τοῦ Θυσιαστηρίου, εἰ μὲν μόνον εἰς κοινὴν χρῆσιν.

ἤτοι

(α) Τῆς δ'. κς'. (β) Ἀπος'. κά. κβ'. κγ'. κδ'. τῆς ά. α'.
(γ) Ἀπος. κζ'. Ἀντιοχ'. ε. Καρθ. νζ'. ξϛ'. οϛ. πγ'. ϙϛ'. ϙζ'.
(δ) Ἀπος. οϐ'. ογ'. Νισσ. ή. Νησευτῶν, κβ'.

---

(1) Ὁ Βαλσαμ. λέγει, ὅτι ἐὰν ἡ Ἐπισκοπὴ μὴ ἔχῃ κίνδυνον, ἢ βλάβην, δύναται ὁ Ἐπίσκοπος ἐξ ἰδίων (ἴσως δὲ καὶ ἐκ τῶν περισσευόντων τῇ Ἐπισκοπῇ) ἀνακαινίσαι τὰ διαφθαρέντα Μοναστήρια, καὶ ἐκ βάθρων ἀνεγεῖραι, καθὼς καὶ τῶν Πατριαρχῶν Φώτιος μὲν, ὠκοδόμησε τὴν τοῦ Μαγνηλ Μονὴν, ὁ Ἀλέξιος δὲ, τὴν τοῦ Ἀλεξίου. καὶ ὁ Θεοφύλακτος τὴν περίβολον τῶν Ῥαφιανῶν. καὶ ἄλλοι ἄλλας. (2) Ἐγγραφέσθω, ἢ προσνεμέσθω.

ἤτοι ἑαυτοῖς, ἢ ἄλλοις παράσχωσιν, ἀφοριζέσθωσαν (1). εἰ δὲ καὶ κλέψωσιν, ὡς Ἱερύσυλοι παιδευέσθωσαν (2). τὸ μὲν γὰρ ἰδιώσασθαι ταῦτα, συλῆσαί ἐστι τὰ ἅγια. τὸ δὲ χρήσασθαι εἰς ἀνιερον χρῆσιν, βεβηλῶσαί ἐστιν αὐτά.

ΚΑΝΩΝ ΙΑ'. (α)

Τὰς κοσμικὰς ἀξίας, ἢ φροντίδας ἀναδεχομένους κληρικοὺς, καθαιρεῖσθαι· οὐδεὶς γὰρ δύναται δυσὶ κυρίοις δουλεύειν, κατὰ τὴν γραφήν.

ΚΑΝΩΝ ΙΒ'. (β)

Τῆς ἁγίας καὶ οἰκουμενικῆς ς'. Συνόδου καθαιρέσεως τοὺς ἐν τοῖς εὐκτηρίοις οἴκοις ἔνδον οἰκείας ὄντας λειτουργοῦντας, ἢ βαπτίζοντας κληρικοὺς, μὴ ὄντας ἀποκεκληρωμένους (3) παρὰ τῷ ἐπισκόπῳ, ἢ ἡμεῖς ἐκείνοις συμψηφίζομεθα, ἀφορίζοντες καὶ τοὺς ἐν τοιούτοις συγκοινωνοῦντας (4).

ΚΑΝΩΝ ΙΓ'. (γ)

Οἱ πρὸ συνοδικῆς ἐξετάσεως ἀποσχίσαντες ἑαυτοὺς τῷ ἰδίῳ ἐπισκό-

(α) Ἀπ. ε'. πα. πγ'. ὅρα καὶ Ματθ. ε'. 24.
(β) Ἀπ. λά. τῆς δ'. καὶ. τῆς ε'. λά. νθ'.
(γ) Ἀπ. λά. τῆς δ'. καὶ. τῆς ε'. λά. λδ'. τῆς αθ'. ιθ'. κ'. κβ'. ἀντιοχ'. ε. Γάγγρ. ε'. Καρθαγ. α. ια. ξς'.

(1) Ἐνδέχεται τοὺς αὐτοὺς εἶναι, ἢ ἀφιερώσαντας, ἢ δεσπόζοντας, ἢ εἰς τὴν ἀνιέρου χρῆσιν μεταχειριζομένους τὰ ὡς τῷ θυσιαστηρίῳ ταῦτα, ἢ διὰ τοῦτο, ὑ λέγονται κλέπτεσθαι ὑπ' αὐτῶν, ἀλλὰ κοινοῦσθαι μόνον, οἷά εἰσι μάλιστα τὰ εἰς ἰδιάζοντας εὐκτηρίους οἴκους, ἢ καὶ εἰς καθολικὰς ἐκκλησίας, ἢ ναοὺς μοναστηρίων. ὡς γὰρ ἐκείνοις μόνον ἅγια εἰσὶν, ὡς δὲ τοῖς μοναστηρίοις, ἢ ἅγια, ἢ ἱερὰ (βαλσαμὼν ἀποκρ. γ'.) καὶ τοι ἢ ὁ ἀπὸ τῶν ἑαυτῷ νοσφισάμενος Ἀνανίας, θανάτῳ κατεδικάσθη (πρᾶξ. Ἀποστ. ε. 3. 4. 5.). (2) Οἱ Ἱερόσυλοι ἔλαττον κανονίζονται τῇ μοιχῇ (ὅρα Γρηγόρ. Νύσσης. ἡ. ζ. ὁ δὲ μοιχὸς, ιε. ἔτη ἀφορίζεται (Βασιλ. νη'). Ἀτιμαζόμενοι τοίνυν οἱ Ἱερόσυλοι, δίκαιοι ἂν εἶεν καθαιρεθῆναι (κατὰ τὸν Βαλσαμ.), κληρικοὶ δηλονότι τελοῦντες. (3) Τοιοῦτοι εἰσὶν οἱ διωρισμένοι, ἢ ἐκκεχωρημένοι, ἢ ἐπιστεραμμένοι, καθὼς φησι Ζωναρᾶς. (4) Δῆλον ὅτι λοιποὶ ὑποτίθενται οἱ τοιοῦτοι εἶναι, ἃ μόνον δὲ εἰς τοιούτους εὐκτηρίους οἴκους ἀλλὰ καὶ εἰς παντὶ ἀκαθιερώτους οἰκίσκους, ἢ εἰς πλοῖα ἔτι, δι' ἀντιμηνσίων ἐκτελοῦνται τὰ τῆς

σκόπε, ἢ μὴ μνημονεύοντες αὐτῦ ἐν τῇ Μυσαγωγίᾳ. ὡς δῆθεν ἐπ' ἐγκλήμασί τισιν αἰτιώμενοι αὐτόν. οἵτε ἄλλως τυτοις (1) συγκοινωνοῦντες Ἱερατικοὶ, καθαιρῶνται. ἰδιῶται δὲ, ἀφορίζονται παντελῶς (2) τῆς Ἐκκλησίας, ἕως ἂν διορθωθῶσι.

ΚΑΝΩΝ ΙΔ'. (α)

Τὰ αὐτὰ ὥρισαν ἢ περὶ Ἐπισκόπων ἀποστησάντων τῶν οἰκείων Μητροπολιτῶν. ΚΑΝΩΝ ΙΕ'. (β)

Τὰ αὐτὰ ἢ περὶ Μητροπολιτῶν, ἢ τῶν λοιπῶν τὴν τῦ Πατριάρχυ κοινωνίαν μισούντων ἐσφράγισαν. ἐκτὸς εἰ μὴ αἱρεσίν τινα δημοσίᾳ κηρύττοι. τότε γὰρ, ἢ πρὸ συνοδικῆς καταχρίσεως ἀποτειχιστέον ἐκείνυ, ἢ ἃ μόνον τῇ Κανονικῇ ἐπιτιμήσει ὑπ' αὐτοῖ κείσονται, ἀλλὰ ἢ τῆς πρεπούσης τιμῆς τοῖς ὀρθοδόξοις ἀξιωθήσονται. ΚΑΝΩΝ ΙΣ'. (γ)

Ζῶντος ἔτι τῦ Ἐπισκόπε, ἐκ ἀντεισακτέον ἄλλον, ἐκτὸς εἰμὴ ἐκεῖνος, ἤτοι ἐκὼν παραιτηθῇ (3), ἢ Κανονικῶς καθαιρεθῇ, ἢ ἔξω τῆς ἰδίας Ἐπισκοπῆς ὑπὲρ τὸ ἐξάμηνον χρονοτριβεῖ, ἄνευ Βασιλικῆς (4), ἢ Πατριαρχικῆς προσαγῆς, ἢ βαρείας νόσυ.

ΚΑΝΩΝ ΙΖ'. (δ)

Καί τοι ἔξιν οἱ, ἀπὸ Λαϊκῶν, ἢ Μοναχῶν ἀθρόον εἰς Ἐπισκοπὴν

(α) Τὰ αὐτὰ τοῖς ἀνωτέρω. (β) Τὰ αὐτὰ τοῖς ἀνωτέρω.
(γ) Σαρδικ. ια'. Καρθ. ιθ'. πϛ'. (δ) Ἀποσ. π'.

τῆς Ἱερωσύνης πάντα. (Ἁρμενοπλ. ἐπιτομ. Καν'. τμήματι ϛ'. ἐπιγραφ. ε'. σχόλ. Νεαρᾶς ιε'. Λέοντος τῦ Σοφῦ) ἀλλ' ἀθέατα τῦ Ἐπισκόπε κατὰ τὰς Κανόνας. (1) Τοῖς ἀποσχήσασιν ἑαυτὰς δηλαδὴ ἐκείνυ. (2) Ἔξιν ἀφορισμὸς, ἢ τὸ μόνης εἴργεσθαι τῆς μεταλήψεως τῶν θείων μυστηρίων. ἔστι δὲ ἢ τὸ ἔξω τῆς Ἐκκλησίας εἶναι. ὃν παντελῆ ὠνόμασαν, ὡς βαρύτερον (Ζωναρ.). ὅρα ἢ τὴν α'. σημείωσιν τῦ α'. Ἀποστόλων. (3) Διὰ τὴν αὐτῦ ἀπραγμοσύνην ἴσως, εἴτ' ἂν ἀνεπιτηδειότητα (ἢ ὅρ. επιστολ. τῆς γ'. Συνόδυ.).

(4) Ὁ, τε Βασιλεὺς, ἢ ὁ Πατριάρχης Κανονικῶς ἢ ὑπὲρ τὸ ἐξάμηνον ἐμποδίζυσι τῷ Ἐπισκόπῳ τὴν εἰς τὴν ἰδίαν Ἐπισκοπὴν ἀπέλευσιν, ὅταν θέλωσιν.

πὴν ἀνήχθησαν (1). ἀλλ' ὁ νόμος τὸ σπάνιον (2), οἱ ὧν ἐπισκοπήσοντες, ἀποπληρέτωσαν τῶ λοιπῶ ἐν ἑκάστῳ τάγματι πρότερον τὸν νενομισμένον (3) χρόνον.

ΟΙ ΤΗΣ ΕΝ ΤΩ ΝΑΩ ΤΗΣ ΚΑΤΑ ΤΗΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΙΝ ΑΓΙΑΣ ΣΟΦΙΑΣ ΙΕΡΑΣ Συνόδου τρεῖς Κανόνες.

Προθεωρία περὶ ταύτης.

Ἐπὶ τοῦ Βασιλέως Βασιλείου, καὶ τῶν ἱερέων αὐτοῦ, Λέοντος, καὶ Ἀλεξάνδρου, ἐσεμνύνων καὶ αὐτῶν (4), καὶ τοῦ Πατριάρχου Φωτίου, συνέξη καὶ ἑτέρα Σύνοδος, τπ'. (5) Πατέρων ἐν τῇ Βασιλευούσῃ, ἐν τῷ Ναῷ τῆς ἁγίας Σοφίας, ὅτε παρῆσαν καὶ Πέτρος Πρεσβύτερος Καρδηνάλης, καὶ ἄλλοι δύο τοποτηρηταὶ τοῦ Ἰωάννου Πάπα Ρώμης, (οἳ καὶ τὴν εἰς τὸν τῆς Κωνσταντινουπόλεως θρόνον προϋπάρξασαν ἐνίδρωσιν τοῦ Φωτίου ἐπε-

(1) Οἱ ἀπὸ λαϊκῶν εἰσὶ χειροτονηθέντες. ὁ Νεκτάριος. ὁ Ἀμβρόσιος, ὁ Ταράσιος, ὁ Νικηφόρος, καὶ ὁ Φώτιος, ὁ παρὼν ταύτῃ τῇ Συνόδῳ. (2) Γρηγορίου τοῦ Θεολόγου τὸ ῥητὸν τοῦτο (ὡς τῶν Γραικολατίνων εἰς τὰ Φῶτα, σελ. 932 633.

(3) Ἠρωτήσάν τινες πόσος ἂν εἴη ὁ νενομισμένος χρόνος, καὶ ἤκουσαν, ὅτι ἀδιόριστός ἐστιν. εἰ μὲν γὰρ, λέγουσιν ὅτι ἑπτὰ ἡμέραι εἰσὶ, συνάγοντες τοῦτο ἐκ τοῦ περὶ Ἱερωσύνης λόγου Γρηγορ. τοῦ Θεολόγου. οἱ δὲ ὅτι τρεῖς μῆνας συνταγέντω μετὰ τῶν Κληρικῶν, καὶ εἶτα ἐπισκοπείτω, ἐπάγοντες μαρτυρίαν τὴν ρκϛ'. Νεαρ. τοῦ Ἰσεσιν. ἤτις ἐπὶ τῶν πεπαιδευμένων μὴ παρατηρεῖσθαι τὴν τοιαύτην ὑπόθεσιν τοῦ καιροῦ διορίζει, Αὐτὸς δὲ βλέπε καὶ τὸν ι'. τῆς Σαρδικῆς καὶ τὸν ϛ'. αὐτοῦ σημείωσιν.

(4) Ὅρα Ἀρμενόπουλον ἐν τῇ ἀρχῇ τῆς κατ' αὐτὸ ἐπιτομ. τῶν Κανόνων· καὶ τόμῳ ϛ'. τῶν Συνοδικῶν πρακτικῶν πράξει ξ'. σελ. 972. ἐνθα καὶ ἀναγράφει αὐτῶν τῶν Βασιλέων. (5) Ἄλλοι ἀριθμοῦσι τοῦτες, τπγ'. ἕτεροι δὲ, τπθ', ἄλλοι δὲ, υε'. ὅρα καὶ τὸν Βουνίνιον εἰς τὸν ἡλίου περὶ Τριάδος, κατὰ πλάτος περὶ ταύτης τῆς Συνόδου ὁμιλοῦντα.

πεσΦράγισεν, καθὼς καὶ τῶν ἄλλων θρόνων οἱ τοποτηρηταὶ), ἔπειτα ἀπὸ Χρισοῦ, ωοθ', ἥτις καὶ τὴν ζ'. Σύνοδον ἁγίαν καὶ οἰκουμενικὴν ὀνομάζεσθαι ἐκύρωσε (μὴ δεχομένων τάτε πρότερον ἔτε τῶν ἀνατολικίων, ἔτε τῶν δυτικῶν (1) καὶ τοι περιεπόντων αὐτῆς τὰ δόγματα), καὶ τὴν κατὰ Φωτίε τροχειρονίαν ἐκύρωσε (2).

ΚΑΝΩΝ Α'. (α)

Τὰς οἱωσδήποτε ἐπιτιμηθέντας παρὰ τοῦ ἐν τῇ Ρώμῃ Πάπα, ὅτως εἶναι καὶ παρὰ τοῦ ἐν τῇ Κωνσταντινοπόλει Πατριάρχου. καὶ τὰς παρὰ τοῦ Πατριάρχου ὁπωσδήπως δεδεσμημένας, ὡσαύτως εἶναι καὶ παρὰ τοῦ Πάπα, σωζομένων ἀεὶ τῶν πρεσβείων (3) ἐκείνῳ τῷ τῆς Ρώμης θρόνῳ.

ΚΑΝΩΝ Β'.

Ὅτι οὐ δεῖ τὸν καταλθόντα Ἐπίσκοπον εἰς τὸν Μοναχικὸν βίον, ἀντιποιεῖσθαι πάλιν τῆς Ἀρχιερατικῆς ἀξίας (4).

(α) Ἅπος. ιϛ'. ιγ'. λϛ'. Ἀντιοχ. ϛ'. Σαρδικῆς ιδ'.

---

(1) Ὅρα ἐν τοῖς Συνοδικοῖς, τόμ. ϛ'. εἰς τὴν ε' πρᾶξιν σελ. 965.

(2) Μελέτιος Ἀθηνῶν Ἐκκλησιαστικὴ Ἱστορία τόμ. ϛ'. σελ. 316. ἀλλὰ καὶ τοι οἱ Λεγάτοι τοῦ, ἡ. Ἰωαν. Πάπα Ρώμης ἐγραΦως ἐν τῇ ε'. πράξει ταύτης τῆς Συνόδου ἀνεθεμάτισαν τὰ κατὰ τοῦ Φωτίου ἔν τε Βυζαντίῳ ἐπὶ Βασιλείου Βασιλέως, ἔν τε Ρώμῃ ἐπὶ Ἀδριανοῦ Πάπα πραχθέντα. καὶ ἐπεκύρωσαν αὐτὸν γνήσιον Οἰκουμενικὸν Πατριάρχην, καὶ τὴν Σύνοδον ταύτην οἰκουμενικὴν καὶ ἁγίαν ἐπεΦήμησαν, καὶ τοὺς προσθήναι, ἢ ἀΦελεῖν τολμῶντας ἀπὸ τοῦ ἀρχῆθεν παραδεδομένου ἡμῖν Συμβόλου τῆς πίσεως, τῷ αἰωνίῳ ἀναθέματι παρεδωκαν. (ὅρα Συνοδικ. πρακτικ. τόμ. ϛ'. σελ. 969. 971. 972.). οἱ ἐΦ' ἡμῶν μέντοι Λατῖνοι ἐλεγχόμενοι εἰς τὰ ἀνωτέρω, εἰ μὲν διαστρεΦουσι τὰ ὡς αὐτῆ πραχθέντα. οἱ δὲ, μηδὲ ὑποσῆναι ὅλως ταύτην ἐθέλουσι (Μελέτ. Ἀθην. Ἐκκλησιαστ. Ἱστορ. σελ. 317, τόμ. ϛ'. ὅρα καὶ Δοσιθ. σελ. 730.

(3) Τῆς προτιμήσεως δηλαδὴ τῶν πρωτομίων. Ἀλλὰ ταῦτα παρηγνῶντο τότε ὅτε τὰ καθ' ἡμᾶς πρὸς ἐκείνους συνεΦώνουν. νῦν δὲ ἀσυμβατα πάντη τελοῦσιν. (4) Οἱ μὲν, θέλουσιν εἶναι, ὁ ἀπὸ Ἀρχιερέως γενόμενος Μοναχὸς, καὶ μὴ ἔχοντι ἔγκλημα κωλυτικὸν, εἰ καὶ διὰ τὸ ἀπὸ τοῦ δεσπόζειν, καὶ διδάσκειν, ἐπὶ τὸ δεσπόζεσθαι, καὶ διδάσκεσθαι μεταβῆναι, οὐ δύναται τὰ λοιπὰ τὰ τῆς Ἀρχιερωσύνης ἐκτελεῖν, ἰσχύει ὅμως τὰ τοῦ

Πρε-

ΚΑΝΩΝ Γ'. (α)

Περὶ Λαϊκῶν ἀρχόντων τῶν τυπτόντων, ἢ Φυλακιζύντων Ἐπισκόπους ἀκαιτίως, ἢ συμπλασαμένων αἰτίαν, ὅτι ἀναθεματίζονται (ι).

(α) Ἀπος'. νε.

Πρεσβυτέρου, ἐπεὶ ἢ αὐτὸς ὁ Πρεσβύτερος, γνόμενος Μοναχὸς, ἢ παύεται τὰ τῦ Πρεσβυτέρου ἐνεργῶν ἔτι δὲ ἢ διότι, ὁ κ'. τῆς ς'. ὁ ιή. Ἀγγύρ. ὁ, ἡ. τῆς α'. καταβιάζοντες τὸν Ἐπίσκοπον ἀπὸ τῦ τῆς Ἐπισκοπῆς ἀξιώματος. ἢ κωλύσωσιν ἀπ' αὐτῦ τὴν τῦ Πρεσβυτέρου Ἱεροπραξίαν. οἱ δὲ, βέλονται τὸν τοιῦτον μὴ δύνασθαι μήτε τὰ τῦ Πρεσβυτέρου πράττειν, προβαλλόντες τοῦ τε κθ'. τῆς δ'. Ἱεροσυλίαν λέγοντα τὴν τοιαύτην κατάβασιν, ἢ τὴν ὀργὴν ἀπόκρ. Νικολ'. ὡ ἢ φησιν, ὡς περ ὁ παραιτέμενος Ἱερεὺς ὅτε πρὸς τοῖς ἄλλοις, θυμιᾶν δύναται, ὅπερ ἔργον μάλιστα τῦ Διακόνου· οὕτω κἀνταῦθα ὁ παραιτησάμενος τὴν Ἐπισκοπὴν, ὃ ἢ αὐτὸ μόνον, ἔγκλημα ἐστιν αὐτῷ ὡς παράνομον, δηλαδὴ τὸ παραιτήσασθαι. (ἢ ὅρα ἐπιστολὴν τῆς γ'. Συνόδου) οὐκ ἐκτελεῖ τὰ τῦ Πρεσβυτέρου. οἱ γὰρ ἀνωτέρω Κανόνες τὰ διωρισμένας αἰτίας καταβιάζοντες τοὺς Ἐπισκόπους εἰς Πρεσβυτέρους, οὕτω ἢ ὧδε εἰς ἐπιχειρήματα τῶν θελόντων τὴν κατάβασιν ἱκανῦσιν αἱ παραληφθεῖσαι αὐτοῖς μαρτυρίαι. ὁ δὲ Βαλσμ. (ἑρμην'. τῦ γ'. Ἀγγύρ.) ὅτε τοὺς ἐξ ἀσθενείας, ἢ βίας τινὸς ἀποκαρύτας Ἐπισκόπους. (μόνον οὐ πᾶς τῦτο καταδεχθῶσιν) ἐκχωρεῖ ἐκτελεῖν τὰ λοιπὰ τὰ τῶν Ἐπισκόπων. ἢ τὸν τὸ τῦ σαυροφόρου δὲ σχῆμα φορέσαντα (ἢ μόνον δηλαδὴ τὸν μεγαλόσχημον) Ἐπίσκοπον, ἥκιστα βέλεται εἰς τύπον, τὰ τῦ Ἐπισκόπου πράττειν, καίτοι ἀρράβωνα ὄντα τῦ μεγάλου σχήματος ἢ κατ' αὐτὸν τὸν Βαλσμ. ἢ κατὰ τὸν Συμεών, κεφ. κ'. σελ. ξιϛ. ὅρα ἢ Βλάσαριν (εἰς τὸ ε. κεφ. κθ'.) τὰ αὐτὰ βελόμενον.

(ι) Εἰ δὲ ἢ πάνυ εἴη εὐπρόσωπος ἡ αἰτία, ὧδε ὁ τὴν μεγίστην ἀρχὴν λέπων, ἐκδικεῖν ταύτην δύναται τὴν αἰτίαν. ἀλλὰ δεῖ τῇ Συνόδῳ ἀνατεθῆναι, ἢ μόνη χρὴ εἶναι ἐξεῖναι ἢ κολάζειν τῶν Ἐπισκόπων τοὺς ἁμαρτάνοντας. (βλάσαρ. εἰς τὸ τ. κεφ. ια'.) καθαιροῦσα δηλαδὴ ἐκείνους πρότερον, εἶτα παραδιδοῦσα τοῖς ἐξωτικοῖς κριτηρίοις, κατὰ τὸν ε'. Ἀντιοχ'.

ΤΟΥ ΑΓΙΟΥ ΓΕΝΝΑΔΙΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΚΩΝ ΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ, ΚΑΙ ΤΗΣ ΠΕΡΙ ΑΥΤΟΝ Συνόδε, ἐκ τῆς πρὸς ἅπαντας τὺς Μητροπολίτας, ἢ τὸν Πάπαν Ῥώμης (1) ἐγκυκλίου Ἐπιστολῆς, κατὰ Σιμωνιακῶν, Κανὼν εἷς.

Προθεωρία περὶ ταύτης.

Ὁ Γεννάδιος ἤκμασεν ἐπὶ Βασιλέως Λέοντος τῦ ἐπιλεγομένε Μακέλλε, προχειρισθεὶς Πατριάρχης μετὰ τὸν Θάνατον Ἀνατολίε τε ἐν τῇ δ'. Συνόδῳ παρυσιάζοντος (2), ἢ τινος αὕτη ἡ Ἐπιστολὴ, εἰς τάξιν Κανόνος ἐχρίθη παρὰ τῆς ς'. οἰκημενικῆς Συνόδε, ἐν Κανόνι αὐτῆς, β'. μετὰ γὰρ τῆς ἐν Κωνσταντινουπόλει ἐπιδημήσης τότε Συνόδε Ἐπισκόπων, ογ'. ταύτην συνεχρότησε.

ΚΑΝΩΝ Α'. (α)

Ἔξω, ἢ ἔξιν (3) ἀποχήρυκτος, ἢ πάσης Ἱερατικῆς ἀξίας τε, ἢ λει-

(α) Ἅπος. κθ'.

(1) Ἴσως δὲ ἦν ἔτος ὁ πρὸ τῦ Φιλίκος σιμπλικίε. (2) Ἀναζωσθι περὶ αὐτῦ ἢ Νικηφόρου Καλλίστου, ἐν βιβλίῳ, ιε. κεφαλαίῳ, λβ'.

(3) Τὸ μὲν ἔξω ἀντὶ τῦ, γινέσθω ὑπὸ τῶν ἐκδικούντων φησὶ τὺς νόμυς, ἢ τὺς Κανόνας. τὸ δὲ, ἢ ἔξι, ἢ τὸ, κἂν μὴ ἐλέγχηται καθ' ὑπερβολὴν ἐξι ἐκφρασθήνται ἢ ἀγωνισικώτερον, καθὼς προέφημεν ἢ ἐν τῇ γ'. σημ. τε, κς'. τῆς ς'. ὅρα ἢ Εὐστράτιον Ἀργυρὸν περὶ τύτε τῦ ἀγωνισικώτερον, ἐν τῷ περὶ Ἁγιασμῦ τῦ μυσηρίε, τμήματι ϛ'. σελ. 229. ἡμεῖς γὰρ, ἢ τὺς ἀναξίως τῶν Ἱερέων, Ἱερεῖς γνωματεύομεν, κατὰ τὸ τῦ θείε Χρυσοσόμε γνωμάτευμα (λόγῳ, ϛ' εἰς τὴν πρὸς Τιμόθ. ϛ'. Ἐπιστολ.). ἤγεν, „ πάντας μὲν ὁ Θεὸς ἐ χειροτονεῖ, διὰ πάντων δὲ ἐνεργεῖ. Ἄθρει δὲ ἢ τὴν δ'. Σύνοδον, Καν'. ϛ'. ἢ τὸν ἅγιον Τα-

ράσι-

λειτουργίας ἀλλότριος, ἢ τῇ κατάρᾳ τῦ ἀναθέματος ὑποκείμενος ὅς τε τὴν Ἱερωσύνην κτᾶσθαι διὰ χρημάτων οἰόμενος, ἢ ὁ ταύτην παρέχειν ἐπὶ χρήμασιν ὑπισχνούμενος, εἴτε Κληρικὸς, εἴτε Λαϊκὸς, καὶν ἐλέγχηται, καὶν μὴ ἐλεγχηται τῦτο ποιήσας. διὰ γὰρ χρημάτων τὴν προβολὴν ποιουμένων τῶν Ἀρχιερέων, ἐκ οἶδα εἰ ἐπιφοιτᾷ τῷ προχειριζομένῳ κατὰ τὴν φωνὴν τῦ κηρύγματος (1), ἢ ἐχὶ μᾶλλον συλλέγεται ἡ τῦ ἁγίυ Πνεύματος χάρις, ὅτι ἐδὲ οἷόν τε συμβιβασθῆναι ποτὲ τὰ ἀσύμβατα. ἐδὲ Θεῷ συμφωνῆσαι τὸν Μαμωνᾶν, ἢ τὸς τύτῳ δυλεύοντας, δυλεύσαι Θεῷ.

ΤΟΥ ΑΓΙΟΥ ΤΑΡΑΣΙΟΥ ΠΑΤΡΙΑΡΧΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ ΕΚ ΤΗΣ ΠΡΟΣ ΤΟΝ ΠΑΠΑΝ Ῥώμης Ἀδριανὸν Ἐπιστολῆς, κατὰ Σιμωνιακῶν. Κανὼν εἷς.

Προθεωρία περὶ τύτυ.

Ὁ Ταράσιος ἐπεσκόπησεν ἀμέσως πρὸ τῦ ὁμολογητῦ Νικηφόρυ, ἐπὶ τῆς Βασιλείας Κωνσταντίνυ, ἢ Εἰρήνης τῆς Μητρὸς αὐτῦ· ὃς ἢ τὴν ζ'. Σύνοδον συναθροΐσαι αὐτὸς ἔπεισεν. ἣ τινος ἢ τὴν τοιαύτην κατὰ Σιμωνιακῶν Ἐπιστολὴν, ὡς Κανονικὴν ἡ Ἐκκλησία ἀπεδέξατο, ἢ κεῖται ἐν τῇ, 896. Σελ. τῦ. β'. τόμυ τῶν Συνοδικῶν, ἢ ἐν τῷ β'. τόμῳ τῶν πανδεκτῶν. Καὶ ἐν ἑτέρᾳ δὲ Ἐπιστολῇ, ὁ αὐτὸς ἅγιος, τόμ. β'. τῶν Συνο-

ράσιον, ἐὰν ἐλεγχθῇ, λέγοντας, καταχρίνεται. διάτι τῦτο ἢ αὐτὸς ἴστος ὁ ἅγιος Γενναδίος, παραχατιὼν ἀποφαντικῶς μὲν ἔ, διασκεπτικῶς δὲ φθέγγεται, ἐκ οἶδα εἰ ἐπιφοιτᾷ ἡ χάρις τῦ Πνεύματος, κξ'.

(1) Καθὼς κηρύττει ἐκφώνως ὁ Ἀρχιερεύς, Εὐξώμεθα ὑπὲρ αὐτῦ, ἵνα ἔλθῃ ἐπ' αὐτὸν ἡ χάρις, κξ'.

Συνοδικῶν. Σελ. 899. πρὸς τινα Ἰωαννην Πρεσβυτέρον Ἡγούμενον, καὶ ἀναχωρητήν, περὶ τῆς σιμωνιακῆς γραφῶν. πρὸς τοῖς ἄλλοις, ἀποδείκνυσιν ὅτι, ὁ ἐπὶ χρήμασι χειροτονήτας ἢ χειροτονηθεὶς, ἐὰν μετανοήσῃ, δεκτὸς ἐστι παρὰ τῷ Θεῷ· ἐνεργεῖν μέντοι τὰ τῆς Ἱερωσύνης οὐ δύναται, ἀλλὰ ξένος ἐστὶ καὶ χεχωρισμένος ταύτης, ὡς μὴ ἀνεπιλήπτως κατὰ τὸν Ἀπόστολον. (α)

ΚΑΝΩΝ Α'. (β)

Οἱ ἐπὶ χρήμασι χειροτονοῦντες ἢ χειροτονηθέντες ὡς Σιμωνιακοὶ, ἂν ἔχωσι μερίδα, ἢ Κληρονομίαν ἐν τῷ λόγῳ τούτῳ. ὧν ἡ δυσσεβὴς αἵρεσις βαρυτέρα τῆς αἱρέσεως τῶν Πνευματομάχων. ἐκεῖνοι μὲν γὰρ, τῷ Θεῷ καὶ Πατρὶ, αὐτοὶ δὲ, ὡς δεσπότῃ, οἵτε πωλοῦντες τὴν χάριν, καὶ οἱ ἀγοράζοντες, ἑαυτοῖς θέλουσι τὸ Πνεῦμα τὸ ἅγιον δοῦλον· καὶ ἵνα ἁμαρτάνωσι τοῖς βλασφημίαις ἐν Βεελζεβοὺλ ἐκβάλλειν τὰ δαιμόνια τὸν Χριστὸν, ἢ, τόγε ἀληθέστερον εἰπεῖν, παρεοίκασιν Ἰούδᾳ τῷ προδότῃ τοῦ Χριστοῦ, ὁμουσίου ὑπάρχοντος τῷ Πνεύματι.

ΤΗΣ ΕΝ ΚΑΡΧΗΔΟΝΙ ΣΥΣΤΑΣΗΣ ΤΟΠΙΚΗΣ ΑΓΙΑΣ ΣΥΝΟΔΟΥ, ΕΝ Η ΠΡΟΕΞΗΡΧΕΝ Ο ΜΕΓΑΣ Κυπριανὸς, ὁ καὶ Ἱερομάρτυς. Κανὼν εἷς, ὃς διαλαμβάνει ὅτι καὶ τοὺς αἱρετικοὺς, καὶ τοὺς σχισματικοὺς δεῖν ἀναβαπτίζεσθαι.

Προθεωρία ταύτης.

Γ'τη ἡ Σύνοδος προγενεστέρα ἐστὶ πασῶν τῶν Συνόδων, Α οἰκουμενικῶν τε, καὶ τοπικῶν. γέγονε γὰρ, ἐπὶ Δεκίου, κατ' ἐρώτησιν Ἰοβιανοῦ τινος Ἐπισκόπου, ἐπὶ ἔτει ἐνὶ.

ΚΑ-

(α) Α'. Τιμοθ. κεφ. γ'. 2.
(β) Τὰ αὐτὰ τοῖς ὡ τῷ τοῦ ἁγίου Γωνναδίου. Πράξ. Ἀπος'. ἡ. 21.

ΚΑΝΩΝ ΚΑ'. (α)

(1) Περὶ τῶν αἱρετικοῖς ἢ σχισματικοῖς βεβαπτισμένων, προσφέρομεν γνώμην τὴν παλαιὰν ὑπὸ τῶν προγενεστέρων ἡμῶν, μετὰ πάσης ἀκριβείας, καὶ ἐπιμελείας δεδοκιμασμένην, καὶ ὑφ' ἡμῶν φυλαττηθεῖσαν. ἣν καὶ ὑμῖν νῦν κοινούμεθα, ψηφιζόμενοι διαπαντὸς ἰσχυρῶς, καὶ ἀσφαλῶς κρατεῖν, ὥστε μηδένα βαπτίζεσθαι δύνασθαι ἔξω τῆς Καθολικῆς Ἐκκλησίας, ἑνὸς ὄντος βαπτίσματος, καὶ ἐν μόνῃ τῇ καθολικῇ Ἐκκλησίᾳ. δεῖ δὲ τὸ, τε ὕδωρ τοῦ βαπτίσματος, καὶ τὸ ἔλαιον τῆς χρίσεως (ἀνάγκη γὰρ καὶ χρίεσθαι τοὺς βεβαπτισμένους) ἁγιάζεσθαι ὑπὸ Ἱερέων. ἀλλ' οἱ Ἱερεῖς οἱ ἔξω τῆς Καθολικῆς Ἐκκλησίας βαπτίζοντες, οὐκ εἰσὶν Ἱερεῖς, ἀλλ' Ἱερόσυλοι, καὶ ἀκάθαρτοι, καὶ ἁμαρτωλοί. ὅπερ ἂν αὐτοὶ οὐκ ἔχουσιν, ὡς Ἱερόσυλοι, οὐδὲ ἄλλοις δύνανται δοῦναι φησὶ γὰρ ἡ Γραφὴ, » Καὶ παντὸς, οὗ ἐὰν ἅψηται, ὁ ἀκάθαρτος, ἀκάθαρτον

(α) Ἅπος'. μς'. μζ'. ξή. τῆς ε'. ζ'. τῆς ς'. μέ. Λαοδικείας μή. Ἀριθμ. 19. 22. Παροιμ'. θ'. 18. Ψαλμ. ρμ'. Ματθαῖος 12. 30. α'. Ἰωάννου 2. 18. 19.

(1) Καὶ ὁ μέγας Βασίλειος ὠ'ῷ ά. αὐτοῦ Καν'. τοῦτον φαίνεται δεχεσθαι τὸν Κανόνα, καὶ ἡ ς'. Σύνοδος ἐπισφραγίζει αὐτὸν ὠ τῷ ϛ'. αὐτῆς Κανόνι. καὶ ὁ ἅγιος Διονύσιος Ἀλεξανδρείας ὁ Κανονικὸς, συμφωνεῖ αὐτῷ κατὰ τὸ βαπτίζεσθαι πάντας τοὺς αἱρετικοὺς (ὁρα Μελέτιον Ἀθηνῶν Ἐκκλησιαστικὴ Ἱστορ'. τόμ. α'. σελ. 249. ἡ δὲ καὶ ἡ ζ' ἔοικε Καν'. αὐτῆς ζ'. μὴ ὡ πᾶσι τοῦτον τετηρηκυῖα, ἀλλ' ὡς ἐκεῖσε εἰπομεν, οἰκονομίᾳ μᾶλλον ἐκείνῃ ἐχρήσατο, ἢ ἀκριβείᾳ, ἣν ἀκριβέιαν αὖτη ἀραρότως ἐφύλαξε. καίτοι οἱ πλείους ἐξηγηταὶ τῶν Κανόνων ὡς διωθισμένην ὑπὸ τοῦ ϛ'. Κανόνος τῆς ς'. Συνόδου τὸν τοιοῦτον Κανόνα κρίνουσιν. ἔτινες ὁ. τῆς ς'. ὁρα καὶ τὴν ὑποσημείωσιν. ἀλλ οἱ ταυτης Πατέρες, ἐπ' ἀν τῆς περὶ τὸ Κυπριανὸν, ὀγδοήκοντα πρὸς τοῖς τέσσαρσι (κατὰ τὸ Βλάσαρ. ὠ τῇ ἀρχῇ τοῦ οἰκείου Νομοκα'.) γελῶντες, ἑκάστου αὐτῶν εἰς ἐπιχειρήματι χρησάμενοι, (ὡς κεῖται ἀναγραπτα ὠ'ῷ εἰς κατα πλατος) πρὸς τὸ ἀποδεῖξαι, ὅτι ἄδεκτον τὸ τῶν αἱρετικῶν, καὶ σχισματικῶν βαπτισμα, πολλὴν τὴν ἰσχὺν ὠ τῷ μέρει τούτῳ ἐοικασιν ἔχειν. Ὁρα δὲ αὐτος καὶ Δοσιθεος δωδεκαβιβλ. περὶ ταυτης τῆς Συνόδου, ὠ σελιδι. 53.

„ θαρτον ἔσαι. Φησὶ δὲ ἡ ἀλλαχθ ἡ αὐτὴ, Ἀπὸ ὕδατος ἀλλο-
„ τριθ ἀποσχεσθε, ἢ ἀπὸ πηγῆς ἀλλοτρίας μὴ πίητε. Καὶ πα-
„ λιν ἔλαιον δὲ ἁμαρτωλὸς μὴ λιπανάτω τὴν κεφαλήν μθ, εἰ ἦν
ὅτε καθάραι τὸ ὕδωρ, ὅτε ἁγιάσαι τὸ ἔλαιον δύνανται, πῶς ἂν
βαπτίσαιεν οἱ τοιοῦτοι; οἵτινες ἢ ἐχθροὶ εἰσὶ τθ Κυριθ. „ ὁ γὰρ
μὴ ὢν μετ' ἐμοθ, φησὶ, κατ' ἐμοθ ἐστὶ. ἢ ἀντίχριστοι δὲ οἱ αὐ-
τοί. Καὶ νῦν δὲ ἀντίχριστοι πολλοὶ γεγόνασι . . . . . ἐξ ἡμῶν
„ ἐξῆλθον, ἀλλ' οὐκ ἦσαν ἐξ ἡμῶν. τοίνυν τὸ βάπτισμα αὐτῶν,
ἀδεκτον ὑπάρχει.

ΟΙ ΣΕΠΤΟΙ ΚΑΝΟΝΕΣ ΤΩΝ ΘΕΣΠΕΣΙΩΝ ΤΟΠΙΚΩΝ (1) ΣΥΝΟΔΩΝ

ΟΙ ΤΗΣ ΕΝ ΑΓΚΥΡΑ ΑΓΙΑΣ ΣΥΝΟΔΟΥ ΚΑΝΟΝΕΣ ΠΕΝΤΕ ΚΑΙ ΕΙΚΟΣΙ.

Προθεωρία περὶ ταύτης.

Ἐν Ἀγκύρᾳ τῇ Μητροπόλει τῆς Γαλατίας Σύνοδος, Ἡ προγενεστέρα ἐστὶ τῆς ἐν Νικαίᾳ Α'. εἶχε δὲ ἔξαρχος, Οὐϊτέλιον Ἀντιοχείας τῆς Συρίας, Ἀγρικόλαον Καισαρείας, Βασιλέα Ἀμασείας τὸν Ἱερομάρτυρα, ἢ Μαρκέλλον τῆς αὐτῆς Ἀγκύρας. ὑπῆρξε δὲ ἐν ἔτει ἀπὸ Χριστθ, τιδ'. (2). ζήτη-

(1) Τοπικαὶ ὠνομάσθησαν, ἅτε μιᾶς μόνον ἐπαρχίας Ἐπισκόπων πρὸς τὸν αὐτῶν Μητροπολίτην συνελθόντων, εἰς βεβαίωσιν τῶν ὁρισθέντων ταῖς προλαβούσαις Συνόδοις, ἢ πρὸς καθαίρεσιν τῶν ὑπεναντίας αὐτῇς τολμησάντων ἰσῶσαι. ἢ περὶ Κανόνων ἢ ζητημάτων εἰς τὴν κοινὴν εὐταξίαν συντελούντων τῆς Ἐκκλησίας, (Βλάσαρ. εἰς τὴν ἀρχὴν τῆς πρεσθεωρίας τῶ ἑαυτῶ Νομοκανόνι.), διατὶ δὲ ὠνομάσθησαν οἰκουμενικαὶ αἱ οἰκουμενικαὶ Σύνοδοι, ἔλεπε τὴν ἡμετέραν ὑποσημείωσιν εἰς τὴν ἐπιγραφὴν τῶν οἰκουμενικῶν Συνόδων, σελίδι, 35. (2) Κατὰ τὸν Βαρώνιον παρὰ Μελε-

ζήτησις δὲ ἦν ἐν αὐτῇ, πῶς προσδεκτέον ἐν τῇ Ἐκκλησίᾳ τοὺς ἀρνησαμένους, ἢ πάλιν μετανοήσαντας.

ΚΑΝΩΝ Α'. (α)

Οἱ τῇ ἀληθείᾳ ἢ μὴ τὸ δοκεῖν (1), ὑποβληθέντες ταῖς βασάνοις (2), ἢ διὰ τοῦτο μὴ ὑπομείναντες, ἀλλὰ θύσαντες Πρεσβύτεροι, ἢ εἶτα ἐπαναπαλαίσαντες (3), μονῆς καθέδρας ἀτίμου ἀπολαυέτωσαν, ἢ μηδὲν Ἱερατικὸν τελείτωσαν, ἀλλ. ὅτε ὁμιλείτωσαν. (4)

ΚΑΝΩΝ Β'. (5)

Τὰ αὐτὰ ἢ περὶ Διακόνων ὁ Κανὼν οὗτος διατάττεται. μήτε κηρύττειν τούτους θελων (5). προσιθησι δὲ, ὅτι τοῖς Ἐπισκόποις ἐφείται, ἢ ἐπιτεῖναι, ἢ ὑφεῖναι τὴν ποινὴν περιεργαζομένοις τὸν ἐκείνων χαμαιτον, ἢ ταπεινώσιν πραότητος.

ΚΑ-

(α) Ἄπος'. ξϐ'. τῆς ἁ. ἱ. ιά. Ἀγκύρ. ϛ'. ϛ'. ιϐ'. Πέτρυ γ'. ί. Βασιλ'. μέ. οϛ'. πά. τῆς ϛ'. ρϐ'. Νύσσ. ϛ'. Ἀθανασ', ἐπις. πρὸς Ῥοφιανὸν Θεοφίλ. ϛ'.

(5) Τὰ αὐτὰ τοῖς ἀνωτέρω.

Μελετίῳ Ἀθηνῶν Ἐκκλησιαστικῇ Ἱστορ'. τόμ. ἁ. σελ. 337. ὅρ ἢ Δοσίθ. περὶ αὐτῆς, σελ. 976. (1) Τινὲς τῶν Χριστιανῶν ἐπὶ διωγμῷ, ἢ πρὸ τῆ πειραθῆναι τῶν βασάνων μαλακισθέντες, ὑπέδωκαν τῇ ἀσεβείᾳ. ἢ ἵνα μὴ δοκεῖν αὐθαιρέτως θύειν, ἔπειθον τοὺς ἀσεβεῖς, ὅπως τὸ δοκεῖν αὐτοὺς κολάζωσιν, ἀμὴν τῇ ἀληθείᾳ. (2) Φόβῳ τῶν βασάνων, γράφει ὁ Βλάσαρ. ἢ ὑ διὰ τὴν δριμύτητα μὴ ὑπομείναντες. ὡς ὁ Ζωναρ. φησι. (3) Αὖθις ἐπὶ τυράννων ὁμολογήσαντες, (Ζωναρᾶς). (4) Ἀντὶ τοῦ, διδασκέτωσαν, Ζωναρ. ἢ Βαλσαμ. τοῦτο ἐκλαμβάνουσι. (5) Εὕρηται ὡ ἄλλοις ἀντιγράφοις ἀντὶ τοῦ κηρύξαι ὁμιλεῖν ἢ κηρύξαι εὐχὴν, καθὼς διαλαμβάνει ὁ Σωκράτ. (Ἐκκλ. ϛ'. κεφ. ιά.) λέγων, ὅτι ὡ ὧ ὅ Συριανὸς στρατηγὸς περιεκύκλωσε τὴν Ἐκκλησίαν μετὰ τῶν ἑαυτοῦ στρατιωτῶν ὡ Ἀλεξανδρείᾳ, τοῦ συλλαβεῖν τὸν μέγαν Ἀθανάσιον, προσάξας ὁ ἅγιος τῷ Διακόνῳ κηρύξαι εὐχὴν, αὖθις Ψαλμὸν λέγεσθαι παρεσκεύασε, προτρεψάμενος, μήτις βλάβη τῷ λαῷ γένηται. ἢ τόμ. ϛ'. τοῦ ἁγίου Ἀθανασ'. εἰς τὸν βίον αὐτοῦ τοῦ Ἀθανασίου, συγγραφέντα παρὰ Συμεὼν τοῦ Μεταφραστοῦ, σελ. 76. . τὰ αὐτὰ, ἃ ἢ παρὰ τοῦ Σωκράτους γράφονται.

ΚΑΝΩΝ Γ'. (α)

Περὶ τῶν παιδευθέντων, ἢ περισχισθέντων (1), ἢ δυνασείᾳ ἐπὶ χειρῶν, ἢ σώματός τι δεξαμένων (2) ἢ δι' αὐτὸ πεινθέντων, ὁμολογέντων τε ἑαυτὲς χρισιανὲς μέχρι τέλους, μὴ κωλύεσθαι τὲς τοιύτες τῆς κοινωνίας, ὡς ἐκτὸς ὄντας ἁμαρτίας.

ΚΑΝΩΝ Δ'. (β)

Περὶ τῶν πρὸς βίαν θυσάντων, ἢ ἢ δειπνησάντων εἰς τὰ εἴδωλα (3), φαυλοτέρῳ σχήματι, ἢ ἐσθῆτι λαμπρᾷ (4), ὅτι εἴργονται τῶν ἁγιασμάτων ἔτη ἕξ.

ΚΑΝΩΝ Ε'. (γ)

Περὶ τῶν πεινθιχῇ ἐσθῆτι, ἢ μετὰ δακρύων Φαγόντων, ὅτι ἢ αὐτοὶ μετὰ τριετίαν τῆς ὑποπτώσεως προσδεχεσθωσαν χωρὶς προσφορᾶς (5). Οἱ δὲ μὴ Φαγόντες, τῷ δ'. ἔτει μεταλαβετωσαν, ἢ ποιὰ δὲ τύτων μετάνοια ἐξεταζέσθω πρὸς τὸ Ἐπισκοπυ.

ΚΑΝΩΝ ς'. (δ)

Περὶ τῶν ἀπειλῇ μόνῃ θυσάντων (6) ἢ βραδυνάντων μετανοῆσαι

(α) Πέτρυ ιδ'. (β) τῆς ά. ιδ'. Πέτρυ. ά. β'. Ἀγκύρ. ς'. ή.
(γ) Τῆς ά. ιά. (δ) Ἀποσ. ξβ'. τῆς ά. ιά.

(1) Δῆλον ὅτι τὲς χιτῶνας.

(2) Ἐπὶ χειρῶν μέν, οἷον θυμίαμα, ἢ Θυμιατήριον, ἢ θυσίαν. ἐπὶ σώματος δέ, μιαρόν τι βῶμα, ἢ εἰδωλόθυτον.

(3) Εἰς τὲς εἰδωλικὲς ναύς. (4) Ἔδει γὰρ αὐτὲς δακνωμένυς τὴν ψυχὴν ἢ σκυθρωπάζοντας εἶναι, ὡς μεμιασμένων γευομένυς.

(5) Λέγει μὲν ὁ Κανὼν μετὰ τριετίαν τῆς ὑποπτώσεως, συνεύχεσθαι τὲς τοιύτες τοῖς πιςοῖς, ἢ διορίζεται δὲ μετὰ τῦτο, πότε μετασχεῖν τῶν θείων Μυςηρίων. Φανερὸν ὅμως, ὅτι πολυχρονιώτερον βραδύνυσιν οἱ τοιῦτοι εἰς τὴν μετάδοσιν, ἢ οἱ ἐφεξῆς. εἴ τινες εἰσὶν οἱ μὴ Φαγόντες. ὅτι γὰρ τῷ δ'. ἔτει μεταλαμβάνυσιν οἱ δ' ἀνωτέρω, τυτέσι οἱ Φαγόντες, τὸ λάχιςον τῷ έ. ἔτει μεταλήψονται. τῷ γὰρ δ'. συνήσονται μόνον, μὴ μεταλαμβάνοντες. (6) Ἡ τῦ Πατριάρχυ Μεθοδίυ διατύπωσις, τὲς νηπίυς ὄντας, ἢ εὐαίμαλωσία ἀσεβήσαντας. μετὰ ζ'. ἡμέραν ἀναγινωσκομένων ἐπ' αὐτοῖς τῶν ἱλασηρίων εὐχῶν, μόνον μύρῳ χρίεσθαι διακελευ-

σαι, ὅτι, εἴγε εἰς διάνοιαν ἐπιστροφῆς ἔλθωσι, κωλύονται τῆς θείας Μεταλήψεως ἕως ἐξαετίας. εἰδὲ ἐξοδεύειεν, ἐπὶ διορισμῷ (1), μεταλαβέτωσαν.

ΚΑΝΩΝ Ζ'. (α)

Περὶ τῶν συνεσιαθέντων ἐν ἑορτῇ ἐθνικῇ, ἐν τόπῳ τούτων ἀφωρισμένῳ (2), καί τοι ἴδια βρώματα, ὅτι μετὰ διετίαν ὑποπτώσεως δεκτέοι (3). ἐπὶ τούτοις τε, ἢ ὁ ἄλλος βίος παρὰ τῷ Ἐπισκόπῳ δοκιμαζέσθω.

ΚΑΝΩΝ Η'. (β)

Περὶ τῶν δὶς, ἢ τρὶς, ἐκ βίας θυσάντων, ὅπως τὸ ἕβδομον ἔτος μεταλαμβάνωσιν.

ΚΑΝΩΝ Θ'. (γ)

Περὶ τῶν ἢ ἀναγκασάντων ἅμα ἑαυτοῖς, ἢ ἑτέρους. ἢ ἢ αἰτίαν γνωμένων (4) τῷ ἀναγκασθῆναι. ὅπως μετὰ δεκαετίαν μεταλαμβάνωσιν, ἐπιτηρεμένων ἐν τούτῳ τῷ χρόνῳ, ἢ τῷ ἄλλῳ αὐτῶν βίῳ (5).

ΚΑ-

(α) Τῆς ά. ιά. (β) Τῆς ά. ιά. Ἀγκύρ. δ'. ἐ. ζ'. Πέτρου ά. β'.
(γ) Τῆς ά. ιδ'. Γρηγορ. Θαυματουργοῦ, ἡ.

κελεύεται. τοὺς δὲ ὡς ἡλικίᾳ τελείᾳ ὑπὸ ἀνάγκης καθυπαχθέντας, ἢ τεσσαρακοσὰς δύω νηστεύειν, ἢ γονυκλισίας ποιεῖν ὅση δύναμις τὸ, Κύριε ἐλέησον. ρ'. λέγειν καθ' ἑκάστην, ἢ ἕτω μυριζομένους μεταλαμβάνειν ἢ τῶν ἁγιασμάτων. τοὺς δὲ ἐκ προαιρέσεως αὐτομολήσαντας, δύω ὡσαύτως νηστεύειν, ἢ γονυκλισίας ποιεῖν ἑκάστης ἡμέρας ρ'. εἰθ' ἕτω χρίεσθαι, ἢ ὡς τῷ τέλει τοῦ βίου μεταλαμβάνειν (Εὐχολόγιον περὶ τῶν ἀπ' ἀρνήσεως ἐπιστρεφόντων, σελίδι, 463. ἢ Τὰ πρακτικὰ τῶν Συνόδων τόμ. ά. σελ. 31. εἰς τὸ Ἀρμενοπύλου τὴν ἐπιτομὴν τῶν Κανόνων, τμήματι ἐ. ἐπιγρ. δ'. ἢ τμήματι ϛ'. ἐπιγρ. γ'. σελ. 11. σχόλ.) Οὐκ ἀναβαπτίζεται δὲ ὅδε εἷς τούτων, ὡς ἀληθὲς ἅπαξ ποτὲ δεξάμενος βάπτισμα (Ἀποστόλ. μζ'. ἢ Βαλσαμὼν. ἢ Καρθαγ. νζ'.)

(1) Ὡς εἴγε ἀναῤῥωσθῶσι, τῷ Κανόνος πάλιν ἔχεσθαι, ἀφ' οὗ τοῦτον ἀπέλιπον. βλέπε ἢ τὸν, ἐ. τοῦ Νύσσ. ἢ τὴν τούτου ϛ'. σημείωσιν.

(2) Ἐν εἰδωλείῳ τυχὸν, ἢ ἄλλῳ τόπῳ, εἰς τελετὰς αὐτοῖς τοῖς ἐθνικοῖς ἀνειμένῳ. (3) Τὸ δεχθῆναι εἴτε εἰς μετάληψιν τῶν ἁγιασμάτων, εἴτε εἰς μόνην τῶν πιστῶν σύναξιν, παρὰ τῷ Ἐπισκόπῳ κεῖσθαι.

(4) Κρυπτομένους δηλαδὴ ἢ ἀγνοουμένους ὅτι Χριστιανοί εἰσι, δῆλος αὐτοὺς θεμένων. (5) Δῆλον ὅτι παρὰ τοῦ Ἐπισκόπου, ὥστε, ἢ ἀνέθη-

νει

ΚΑΝΩΝ Ι'. (α)

Ὅσοι ἐν τῷ καθίσασθαι εἰς διακονίαν, διεμαρτύραντο χρῆναι (1) γαμῆσαι, ἔτοι ἢ μετὰ τοῦτο, ἔξωσαν ἐν τῇ ὑπηρεσίᾳ (2). ὅσοι δὲ τότε ἐσιώπησαν, καθαιρεῖνται γήμαντες.

ΚΑΝΩΝ ΙΑ'. (β)

Περὶ τῶν μνηστευθεισῶν κορῶν, ἢ παρ' ἄλλων μεθ' ἁρπαγῆς βιασθεισῶν (3), ὅτι ἀναγκαῖον ἀποδοθῆναι τοῖς μνήστορσιν (4).

ΚΑΝΩΝ ΙΒ'. (γ)

Οἱ πρὸ τοῦ βαπτίσματος θύσαντες, μετ' ἐκεῖνο Ἱερῶνται.

ΚΑΝΩΝ ΙΓ'. (δ)

Χωρεπίσκοποι ἢ χειροτονοῦσι Πρεσβυτέρους, ἢ Διακόνους, μηδὲ Πρεσβυτέρους πόλεως ἐν ἑτέρᾳ παροικίᾳ (5), χωρὶς ἐγγράφου ἐπιτρο-

(α) Ἀποστ. κς'. τῆς δ'. ιδ'. τῆς ς'. ς'. Καρθ. ιθ'. λγ'.
(β) Τῆς δ'. κζ'. τῆς ς'. ηϛ'. Βασιλ. κϛ'. λ'. λη. μϛ'. νγ'. ξθ'.
(γ) Βασιλ. κ'. (δ) Τῆς α. ἡ. Νεοκαισ. ιδ'. Ἀντιοχ. ἡ. ί. Βασιλ. πθ'.

ναι, ἢ ἐπιτεθῆναι τὸν χρόνον τῆς ποινῆς. (1) Ἀντὶ τοῦ, ἀναγκάζονται ὑπὸ τῆς οἰκείας Φύσεως μὴ δύνασθαι παρθενεύειν.

(2) Οὗτος ὁ Κανὼν ὠφαντίωται ἄλλοις Κανόσι, ἢ Ἀποστολικοῖς μὲν τοῖς, τῷ τοι μὴ πρόσχῃς αὐτῷ. ἐπιτρέπει γὰρ τοῖς Διακόνοις, ἢ μετὰ τὴν χειροτονίαν, ἐὰν εἰς γάμον ἔλθωσι, πάλιν λειτουργεῖν.

(3) Ἦγουν παρανόμως Φθαρεισῶν. (4) Εἰ βούλονται δηλον' ὁ μνήστορες δέξασθαι ταύτας, κατὰ τὸν κϛ'. Βασιλείου. μνηστεία δέ ἐστι, κατὰ τοὺς νομοθέτας. (παρὰ Βλάσαρι, εἰς τὸ γ'. κεφ. ιε'.) μνήμη ἢ ἐπαγγελία τῶν μελλόντων γάμων, ἥτις μετὰ Ἱερᾶς τελουμένης εὐχῆς, ἢ λύεται, εἰ μὴ καθ' ἃς τρόπους ἢ τὸ τέλειον διασπᾶται συνεχέστιον. ὅρα δὲ ἢ κατὰ πλάτος περὶ μνηστείας, ἢ τοὺς τρόπους καθ' ἃν διαλύεται, ἢ ἄλλα περὶ αὐτῆς, ἐκ τῶν Ἀποστόλων τοῦ, ιζ'. τὴν α'. σημείωσιν.

(5) Εἰ ὡ τῇ ἑαυτῶν χώρᾳ μετὰ τῆς ἀδείας τοῦ οἰκείου Ἐπισκόπου χειροτονοῦσιν (Ἀρχιερεῖς πάντως ὄντες) Πρεσβυτέρους ἢ Διακόνους, πολλῷ μᾶλλον ὡ ταῖς χώραις ἐκείναις, αἳ ὐχ ὑπόκεινται αὐτοῖς, ὤφειλον τοῦτο ποιεῖν. ἴσως δὲ οἱ τοιοῦτοι Χωρεπίσκοποι ὡ μὴ τῶν ἑαυτῶν Χώρας, μόνῃ ψιλῇ ἀδείᾳ τοῦ Ἐπισκόπου ἐχειροτόνων τοὺς ἐρημώνας Πρεσβυτέρους ἢ Δι-

πιτροπῆς τῦ Ἐπισκόπυ.

ΚΑΝΩΝ ΙΔ'. (α)

Τὺς ἀπεχομένυς χρεῶν Ἱερεῖς, ἢ Διακόνυς, δέον ἐφάπτεσθαι τύτων (1). εἰ δὲ μή, καθαιρῆνται. αὖθις γὰρ εἰ βέλοιντο, ἐγχρατευσάσθωσαν.

ΚΑΝΩΝ ΙΕ'. (β)

Εἰ παρὰ τῶν Πρεσβυτέρων τὰ διαφέροντα τῇ Κυριακῇ (2) ἐπωλήθησαν χωρὶς γνώμης τῦ Ἐπισκόπυ. ἀναχαλῶνται ταῦτα ὑπὸ τῦ Κυριακῦ. ἐπὶ δὲ τῇ κρίσει τῦ Ἐπισκόπυ ἐσὶν ἀπολαβεῖν, ἢ μή, τὸ τίμημα (3). πολλάκις γὰρ εὐπρόσοδα ὄντα τὰ πεπραμένα, πλείονα τύτῳ τὴν τιμὴν περιεποιήσαντο.

ΚΑΝΩΝ Ις'. (γ)

Οἱ μὲν, πρὶν εἰκοσαετεῖς (4) γενέσθαι, ἀλογευσάμενοι, 15. ἔτη κωλυέσθωσαν τῦ συνίσασθαι (5), εἶτα ἢ ἄλλα, 5. τῆς μεταλήψεως. ἐξεταζέσθω δὲ αὐτῶν ἡ μετάνοια, ἢ ὕτω τῆς Φιλανθρωπίας τυγχανέτωσαν. εἰ δὲ καταχόρως ἐν τοῖς ἁμαρτήμασι γεγόνασι, τὴν μακρὰν (6) ὑποπτωσιν ἐχέτωσαν. ὅσοι δὲ ὑπὲρ ταύτην τὴν ἡλικίαν, ἢ γυναῖκας ἔχοντες, μετὰ 30. μεταλαβέτωσαν. οἱ δὲ ὑπερβάντες τὸ 50. ἔτος, ἢ μετὰ γυναικῶν ὄντες, ἐν τῇ ἐξο-

(α) Ἀπος. να. νγ'. Βασιλ'. πς'. (β) Ἀπος'. λή. μά.
(γ) Νίσσ. δ'. Βασιλ'. ζ. ξγ'.

ἢ Διακόνυς, (Ὑποδιακόνυς γὰρ, ἢ Ἀναγνώσας, ἢ ἐφορκισὰς, ἢ χωρὶς τῆς ἐκείνυ ἀδείας ἐσφράγιζον). ὡ δὲ τῇ πόλει τῦ ἑαυτῶν Ἐπισκόπυ (ἥτις ἡ παροικία ἑτέρα ὑπὸ τῦ Κανόνος λέγεται) ἢ ἐγγράφω ἐκείνυ ἐπιτροπὴ ὤφειλον χειροτονεῖν, ἵνα μήτις εἴη ἀμφιβολία. ἦσαν δὲ ἐξ αὐτῶν τῶν Χωρεπισκόπων ἢ Ἀρχιερεῖς (κατὰ τὸν, ί. Ἀντιοχείας), ἢ Πρεσβύτεροι, οἵτινες Πρεσβύτεροι ἢ πλείονα προνόμια τῶν ἄλλων Πρεσβυτέρων ἐκέκτηντο. ἀλλὰ ταῦτων ὁ ἑαθμὸς παντελῶς ἤδη ἠρακτήσω.

(1) Κατά τινας πάντως καιρὸς συνάξεως, διὰ τὸ ἀνυπόπτων, ἐφέλξσιν ἀπογεύσασθαι. (2) Κυριακὸν τὴν Ἐκκλησίαν νοητέον.

(3) Πάντως τὸν ἀγορασήν. (4) Δῆλον δὲ ὅτι χωρὶς γυναικῶν ὄντες ὡ τῷ τοιύτῳ τῶν ἀλόγων ζώων μιασμῷ. (5) Ὑποπίπτοντες μόνον δηλονότι. (6) Ἤγεν εἰκοσαετῆ χρόνον ὑποπτέτωσαν. τῦτον γὰρ οἱ πολιτικοὶ Νόμοι μακρὸν χρόνον καλῦσι (Ζωναρ.).

ἐξόδῳ τῶ ἀγαθῶ μετασχέτωσαν.

ΚΑΝΩΝ ΙΖ'. (α)

Τὺς ἀλογευσαμένυς, ἢ λεπρὺς ὄντα (1) ἤτοι λεπρώσαντας, τοῖς χειμαζομένοις (2) συνεύχεσθαι.

ΚΑΝΩΝ ΙΗ'. (6)

Ὅσοι καταξαθέντες ἐπίτινι παροικίᾳ Ἐπίσκοποι, ὐκ ἐδέχθησαν ὑπ' ἐκείνης, ἐὰν ἑτέρας παροικίας ἐπέρχωνται, ἢ ξασεις ποιῶσιν, ἀφορίζονται (3). εἰ μέντοι βέλοιντο ἐν ᾧ ἦσαν πρότερον Πρεσβυτερίῳ καθέζεσθαι (4), μὴ ἀφαιρείσθωσαν τῆς τιμῆς. εἰ δὲ χἀχείσε τοῖς Ἐπισκόποις ξασιάζυσιν, ἐκκηρυχθήτωσαν (5).

ΚΑ-

(α) Ἀγκύρ. ις'. Νύσσ. δ'. Βασιλ'. ζ. ξγ'.
(6) Ἀπος'. λέ. λς'. τῆς ϛ'. λζ'. Ἀντιοχ. ιή.

(1) Τὺς τοιύτυς λεπρὺς ὀνομάζει ὁ Κανὼν, κατὰ τὸν Μωϋσῆν, βυλόμενος δηλαδὴ ἢ ἀκαθάρτυς τύτυς ἀποφῆναι. τὺς γὰρ λεπρὺς ἐκεῖνος ἢ ἀκαθάρτυς ὀνομάζει, (Λευϊτικ. ιγ'. 11.) ἐπιφερὼν δὲ ὁ αὐτὸς Κανὼν, ἤτοι λεπρώσαντας, ἐξηγεῖται σἰκειότερον ὅπερ εἴρηκεν ἀνωτέρω, λεπρὺς, ὡς εἰ ἔλεγον, ὅτι διὰ τὸ λεπρῶσαι, εἶτ' ὂν αὐτὰ τὰ ἄλογα ζῶα μολύναι, διὰ τῦτο λέγομεν τὺς τοιύτυς, λεπρὺς, τυτέστιν ἀκαθάρτυς.

(2) Χειμαζομένυς τὺς δαιμονῶντας δέον ἡγεῖσθαι, οἳ ἢ ὠφελημένοι ὑπὸ τῦ παχυμέρυς καλῦνται εἰς τὴν μετάφρασιν Διονυσίυ τόμ. α. σελ. 202.), ἢ κατὰ τὰς διαταγὰς τῶν Ἀποστόλων. (ὡς γὰρ αὐτοὶ ἐνεργυμένυς ὑπὸ πνευμάτων ἀκαθάρτων λέγυσιν, ὡ βιβλ'. ἡ. κεφ. ϛ'. τὺς αὐτὺς ἢ χειμαζομένυς καλῦσιν, αὐτόθ'. κεφ. λδ'. λζ'.), ἢ κατὰ τὸν Ἁρμενόπυλον, (ὡ τῇ ἐπιτομῇ τῶν Κανόνων, ἐπιγρ. γ'. τμήματι ε'.), ἢ κατὰ τὸν Ἀργυτ'. (σελ. 259.). εἰδὲ ἢ οἱ τοιῦτοι ὐ συγχωρῦνται μεταλαμβάνειν, καθὼς μεταλαμβάνυσιν, (Τιμοθ'. γ'.) οἱ ὡ διαλείμμασι δαιμονῶντες, ὕδιν ξύον, ἐπεὶ ἢ πολλοὶ τῶν συνιζαμένων τοῖς πιστοῖς ὐ μεταλαμβάνυσιν. ὁ δὲ Βαλσμ. τὺς ἀκροωμένυς ὡ τῷ Νάρθηκι τῶν θείων Γραφῶν, βύλεται χειμαζομένυς. (3) Ὑποβάλλονται τῆς Ἐπισκοπικῆς τιμῆς, μὴ συντιμώμενοι τοῖς Ἐπισκόποις δηλαδή.

(4) Διάγειν ὡς Πρεσβύτεροι ἴσως, κατὰ τὸν Βαλσμ. κατὰ δὲ τὸν Ζωναρᾶν, Πρεσβυτέρων ἔχειν τιμήν. ἀμφιβάλλεται δὲ, τὸ ἢ εἰ ἔξεστιν αὐτοῖς λειτυργεῖν ὡς Ἐπισκόποις. (5) Διωχθήτωσαν ἢ αὐτῆς τῆς Ἐκκλησίας.

ΚΑΝΩΝ ΙΘ'. (α)

Περὶ τῶν ἐπαγγελλομένων παρθενίαν, ἢ ἀθετησάντων, ὅτι ὡς οἱ δίγαμοι κανονίζονται· αἱ δὲ Παρθένοι μὴ συνοικειτωσαν ἀνδράσιν, ὡς ἀδελφαί (1).

ΚΑΝΩΝ Κ'. (β)

Περὶ μοιχῶν, ὅτι μετὰ ἑπταετίαν μεταλαμβάνουσι, κατὰ βαθμούς.

ΚΑΝΩΝ ΚΑ'. (γ)

Περὶ τῶν ἐκπορνευουσῶν γυναικῶν, ἢ ἀναιρουσῶν τὰ γεννώμενα, ὁ μὲν πρότερος ὅρος (2), ἐν τῇ ἐξόδῳ. ἡμεῖς δὲ, μετὰ δεκαετίαν ἐπιτρέπομεν τὴν μετάληψιν, κατὰ βαθμόν.

ΚΑΝΩΝ ΚΒ'. (δ)

Οἱ ἑκόντες φονεῖς, ἐν τῷ τέλει τοῦ βίου ἀξιοῦνται τοῦ τελείου.

ΚΑΝΩΝ ΚΓ'. (ε)

Οἱ δὲ ἀκόντες, παρὰ μὲν τῷ προτέρῳ Κανόνος, ἐν ἑπταετίᾳ ἐπιτρέπονται τὴν μετάληψιν, παρὰ δὲ τῷ δευτέρῳ (3), ἐν πενταετίᾳ.

ΚΑΝΩΝ ΚΔ'. (ζ)

Οἵτε μαντευόμενοι, ἢ οἱ τὰς μαντείας δεχόμενοι, μετὰ πενταετίαν τοῦ τελείου ἀξιοῦσθωσαν.

ΚΑΝΩΝ ΚΕ'. (η)

Ἐπεὶ διεφθάρη παρθένος, ὡς ἡ ἐπιφορέσασα αὐτὴν (4) ὑπότινος, μνησῆρος ὄντος τῆς ἀδελφῆς αὐτῆς τῆς φθαρείσης, ἢ μετὰ τὸ γῆμαι ἐκεῖνον τὴν μνησῆν, ἀπήγξατο. οἱ συνειδότες (5), μετὰ δε-

---

(α) Τῆς α'. γ'. τῆς δ'. ις'. τῆς ς'. ε. μδ'. (β) Ἁπος'. μή. τῆς ς'. πζ'. (γ) Τῆς ς'. μά. Βασιλ'. ϛ'. ή.
(δ) Ἁπος'. ξέ. Ἀγκύρας κά. κγ'. Βασιλ'. ϛ'. ή. ια. ιγ'. μγ'. νδ'. νέ. νς'. νζ'. Νύσσ. έ. Ἀθανασίου Ἐπιστολὴ πρὸς Ἀμμοῦν.
(ε) Τὰ αὐτὰ τοῖς ἀνωτέρω. (ζ) Τῆς ς'. ξα.
(η) Βασιλ'. κά. οή. Νηστευτῷ κδ'.

---

(1) Ὀνομάζεσαι δηλαδὴ ἑαυτὰς ἐκείνοις ἀδελφὰς, μὴ οὔσαι δὲ τῇ ἀληθείᾳ. Τοὺς δὲ ὄντως παρθένους, μάρτυρας καλεῖ ὁ Ἱερὸς Ἀμβρόσιος ἐν τοῖς Ψαλμοῖς. (2) Ἄγνωστος ἔτος.
(3) Ὁ πρότερος ἐστι πάντη ἄγνωστος, ὁ δὲ δεύτερος ἴσως ἂν εἴη ὁ παρὼν, κγ'. (4) Ἔγγυον γενέσθαι. (5) Οὗτοι οἱ ὑπῆρχον οἱ δυνάμενοι

καετίαν συσήτωσαν.

ΟΙ ΤΗΣ ΕΝ ΝΕΟΚΑΙΣΑΡΕΙΑ ΑΓΙΑΣ ΣΥΝΟΔΟΥ

ΚΑΝΟΝΕΣ ΠΕΝΤΕΚΑΙΔΕΚΑ.

Προθεωρία περὶ ταύτης.

Ἡ Ἐν Νεοκαισαρείᾳ τῇ κατὰ τόντον πόλει τῆς Καππαδοκίας Σύνοδος μετὰ τὴν Ἐν Ἀγκύρᾳ συνέξη, ὢν ἔτει τιδ'. ἀπὸ Χριστοῦ (1). παρῆν δὲ ἡ ἐν ταύτῃ ὁ Ἱερομάρτυς Βασιλεὺς Ἐπίσκοπος Ἀμασείας ἐξεφωνήθησαν δὲ παρ' αὐτῆς οἱ ἑφεξῆς Κανόνες ἐπὶ κατασάσει τῆς Ἐκκλησίας.

ΚΑΝΩΝ Α'. (α)

Οἱ μὲν γήμαντες (2) Πρεσβύτεροι, μετατίθονται τῆς τάξεως (3). οἱ δὲ πορνεύσαντες, ἐξωθούμενοι (4) τέλεον, εἰς μετάνοιαν (5) ἄγονται.

ΚΑΝΩΝ Β'. (6)

Γυνὴ δυσὶν ἀδελφοῖς γαμηθεῖσα ἕως Θανάτου ἐξωθεῖται (6).

(α) Ἀπος'. κε'. τῆς α'. θ'. Νεοκαισ. θ'. (6) Ἀπος'. ιϛ'. Βασλ'. ογ. Θυγ-

μωοί τινι τρόπῳ ἐμποδίσαι ταῦτα, ἢ μὴ ἐμποδίσαντες. ὅρα ἢ τὸν Βαλσαμ. ἢ τὸν Ζωναρ. μεγαλύνοντας τῶν τοιούτων τὸ ἁμάρτημα. κοινωνεῖ γάρ τις ἕκαστος τῇ ἁμαρτίᾳ τρισσῶς. ἤτοι συντρέχων. ἢ συμβουλεύων. ἢ σιγῶν. (1) Τῷ αὐτῷ γὰρ ἔτει φησὶ Μελέτιος Κ Θηνῶν (Ἐκκλησιαστικῇ Ἱστορίᾳ, τόμ. α'. σελ. 337.) συνεκροτήθη ἢ αὕτη. ὡ ὢ ἢ ὡ Ἀγκύρᾳ. (2) Ἄγαμοι πάντως ὄντες πρότερ. (3) Μετέχοντες μόνοι τῆς τιμῆς τῆς καθέδρας, ἢ τῆς ὡ τῷ Βήματι μεταλήψεως, οὕτω γὰρ ὥτισι τῶν ἐξηγητῶν εὑρῆσαι παρὰ τοῖς Συνοδικ. πρακτικοῖς (τόμ. α'. ὡ τῇ ἐπιτομ. τῶν Κανόνων τῆ Ἀρμενοπύλ, τμήματι β'. επιγρ. γ'. σελ. 12.). τὰ αὐτὰ διορίζει ἢ ἡ. οθ'. Νεαρ. Λέοντες τῆ σοφῆ περὶ τῶν Ἱερατικῶν εἰ μετὰ τὴν χειροτονίαν γαμήσωσι. (4) Τῆς τιμῆς.

(5) Ἦγον εἰς τοὺς τόπους τῶν μετανοούντων τάττονται. ἀλλ' ἐπειδὴ ὅ, τε λέ. Καρθ. ἢ ὁ γ'. ἢ λϛ'. Βασιλ'. συμφωνοῦσι τῷ κε'. Ἀποστόλ. ἐπικρατέστεροί εἰσι ταύτης. οἱ ἢ ἐπιεικέστεροι. (6) Δηλαδὴ ὅτι ἐὰν μὴ χωρισθῇ

θνήσκουσα δὲ, εἰ ἐπαγγέλλοιτο χωρισμὸν, ἔξει μετάνοιαν (1), ἐὰν δὲ τελευτήσῃ θάτερον τῶν προσώπων ἐν τοιούτῳ γάμῳ, δυσχερὴς τῷ μείναντι ἡ μετάνοια.

ΚΑΝΩΝ Γ'. (α)

Τῶν πολυγάμων σαφὴς (2) ὁ ὡρισμένος χρόνος, ἡ δὲ εἰλικρινὴς μετάνοια, συντέμνει τὸν χρόνον.

ΚΑΝΩΝ Δ'.

Περὶ ἐπιθυμήσαντος συγκαθευδῆσαι γυναικὶ, ἢ μὴ εἰς ἔργον ἀγαγόντος (3), ὅτι ὑπὸ τῆς χαριτος ἐρρύσθη.

ΚΑ-

(α) Βασιλείας δ'.

ρισθῇ. τοῦτο γὰρ ποιήσασα, εἰσάγεται εἰς τὴν Ἐκκλησίαν, καθὰ τὸν Β'. Κανόν. Λαοδικ. (1) Τὸ ἔξειν μετάνοιαν, τὸ ἀξιωθῆναι τῆς μεταλήψεως σημαίνει. (2) Ἐκ συνηθείας ἢ ὅτι ἔχοντες τὴν γνῶσιν, καθὼς ἡ ὁ μέγας Βασίλειος (Κανὼν δ'.) εἶπον σαφῆ εἶναι τὸν ὡρισμένον χρόνον, οἷον τὴν πενταετηρίαν. ἐπεὶ γὰρ φαίνεται πως ὡρίσθαι τι περὶ τούτων. Καὶ οἱ τρίγαμοι δὲ παρ' ἐκείνῳ τῷ μεγάλῳ πολύγαμοι καλοῦνται. (3) Τέσσαρές εἰσιν οἱ βαθμοὶ, κατὰ τὸν Ζωναρᾶν (ὡ τῇ ἑρμηνείᾳ τοῦ αὐτοῦ Κανόνος) καθ' οὓς ὁ ἐχθρὸς πειράζει τὸν ἄνθρωπον. προσβολὴ, πάλη, συγκατάθεσις, ἢ πρᾶξις. ὧν τὰ δύο ἢ πρῶτα, ἀνεπιτίμητα. τὰ δὲ μετ' αὐτὰ δύο, ὑπὸ ἐπιτίμιον. ἀνθ' ὧν ἢ ὅτως ἐπιθυμήτας. ὡς συγκαταθέμενος. οὐκ ἀνεπιτίμητος. ταύτην δὲ τὴν τετρακτὴν τῶν ὡ τοῖς πειρασμοῖς βαθμῶ, ἀπὸ τοῦ Σοφωτάτου ἁγίου Μαξίμου ἠρανίσατο ὁ Ζωναρᾶς, ἢ ὁρα τὸν αὐτὸν Ζωναρ. ὡ οἷς περὶ ὠυπνιασμοῦ κατὰ πλάτος γράφει (Νομικ. Γραικορωμ. σελ. 351.) ὅτι ὁ μέγας αὐτὸς ἅγιος ἀλληγορῶν τὸ ., οὐκ ἀποδώσει Κύριος ἕως γ'. γενεᾶς, ἢ δ'. (Δευτερονομ. ε. 9.) ἢ ἀναγωγικώτερον ἑρμηνεύων αὐτὸ, τὴν μὲν προσβολὴν ἢ τὴν πάλην (καίτοι ὡ τῇ σειρᾷ τῆς γραφῆς σελ. 1447. τόμ. ά. ἀντὶ πάλης ἐπιθυμία κεῖται, ἀλλὰ χρεὼν ἦν πάλη. καθὼς ἡ ὁ Ζωναρ. ὅτω καὶ τὴν ἐκφράζει) ἀτιμώρητον εἶναί φησι. τὴν δὲ συγκατάθεσιν ἢ τὴν πρᾶξιν, ἀξίως σθαι ἀνταποδόσεως. Ὁ δὲ Νικηφ. Κάλλιστος ὁ Ξανθόπουλος ὡ τῇ ἑρμην'. τῶν ἀναβαθμῶν τοῦ β'. ἤγαγε, ὡ τῷ ά. τῶν ἀντιῤῥήσεων, πάλην λέγει τὴν μάχην τῶν δύο λογισμῶν, τοῦ ἀγαθοῦ, ἢ τοῦ κακοῦ. ὃ δὴ μέσον ἐστὶ, ἢ οὐκ ἀνεπίτιμον. ὅθεν ἢ Νηστευτοῦ Κανὼν. ά. 6. γ'. δ'. ἢ Βλάσαρ. εἰς τὸ ις'. κεφάλαιον τοῦ, π'. στοιχείου.

ΚΑΝΩΝ Ε'. (α)

Κατηχέμενος ἁμαρτάνων, ἐὰν ἐν τοῖς κλαίουσι γόνυ κλῖναι, ἀκροάσθω. εἰ δὲ ἐν τοῖς ἀκροωμένοις, ἐξωθείσθω (1).

ΚΑΝΩΝ ς'.

Περὶ τῆς ἐν γαστρὶ ἐχούσης, ὅτι ὁπότε θέλει (2) φωτίζεται, ἐδὰν γὰρ

(α) Τῆς ά. ιδ'. Βασ. λ'. κ'. Τιμοθ'. ς'. Κυρίλλου έ.

(1) Τὸ ἐξωθείσθω, ἀντὶ τοῦ, μετὰ τῶν προσκλαιόντων ταττέσθω, ἤτοι γὰρ ἔξω τῆς πύλης τοῦ Νάρθηκος ἦσαν. ὁρα τὴν ς'. σημείωσιν τοῦ ιδ'. τῆς ά. (2) Ἐπειδὴ δέος τινὰς ὑπισχνεῖται μήπως βαπτιζομένης τῆς ὠδίνας ἐχούσης, συμβαπτίζεται αὐτῇ καὶ τὸ τικτόμενον, ἤτοι, εἰ ἀναβαπτισθῇ γεννηθὲν, ἔσται δὶς βαπτιζόμενον ὅπερ παράνομον. διὰ τοῦτό φησιν ὁ Κανὼν, ὅτι ἂν μεταβάλωσιν ἡ μήτηρ τῷ εὑρεθῆναι τὸ βάπτισμα, ἐκεῖνο γὰρ ἰδιοϋπόστατον ὄν, ἐὰν γεννηθῇ, ἢ δι' ἑαυτοῦ ὁμολογεῖ τὰς ὠδῖνας τῷ βαπτίσματι θείας φωνὰς, ὡς ἡλικία δηλαδὴ τελέσαν. ἢ διὰ τὰ εἰκότα ἀναδόχου, ἃ ἡ πίστις, μετὰ τῆς τῶν γονέων, σώζεσι τὸν τόπον. ἢ ὡς ἐργάζεσιν ἀντὶ τῆς πίστεως τοῦ παιδίου. (Πλάτων Μοσχοβ. ὀρθοδόξου διδασκαλίας μέρει. β'. 32.). κατὰ γὰρ τὸν Ἀρεοπαγίτην Διονύσιον (περὶ Ἐκκλησιαστικῆς Ἱεραρχίας κεφ. ζ'. τομ. ά. σελ. 271.) „ραδιδόασιν οἱ Φυσικοὶ γονεῖς τὸν παῖδα τινὶ τῶν μεμυημένων ὄντι, ἢ ἀ„γαθῷ τὰ θεῖα παιδαγωγῷ, ἢ τὸ λοιπὸν ὑπ' αὐτῷ τὸν παῖδα τελεῖν, „ὡς ὑπὸ θείῳ Πατρὶ, ἢ σωτηρίας ἱερᾶς ἀναδόχῳ. ἅπερ, ὡς φησιν Ἡλίας ὁ Κρήτης (εἰς Νομικὸν Γραικορωμ. σελίδ. 340.), εἴπερ εἴδησαν οἱ μέλλοντες γεννήσεσθαι ἀνάδοχοι, σχολῇ γ' ἂν πρὸς τὴν τῶν ἀναδόχων λειτουργίαν ἀπήντων. φησὶ γὰρ ἡ μετ' ὀλίγα ὁ αὐτὸς Διονυσ. περὶ τοῦ ἀναδόχου ὡς ἔτωσι ὑπισχνουμένου κατὰ τὸ σιωπώμενον. „ὁμολογῶ τὸν „παῖδα πίστειν, εἰς νέαν ἱερὸν ἰόντα, ταῖς ἐμαῖς ὠθείαις ἀναγωγαῖς, ἀ„ποταξασθαι μὲν ὁλικῶς τοῖς ὠαντίοις, ὁμολογῆσαι δὲ ἢ ὠφελῆσαι „τὰς θείας ὁμολογίας. διὰ ταῦτα ἢ φρίττοντα αὐτὸν ἀλλαχοῦ, (περὶ τῶν ὠῶν τῷ Φωτίσματι σελ. 168.). παρεισάγει διὰ τὸ ἐγχείρημα. φησί γαρ, „πρὸς δὲ τὸ τοῦ πράγματος ὕψος ἀντιμετρεῖντα (τὸν ἀνάδοχον) „τὸ ἀνθρώπινον, φρίκη μὲν ἄφωνος ἢ ἀμηχανία περίεσται. ὁ δὲ Χρυσόστομ. (λόγῳ εἰς τὸν διὰ τῆς σίγης καταβιβασθέντα παραλυτικὸν τόμ. γ'. σελ. 40.) „φησὶν ἑτέρου πιστεύσαντος, ἕτερος ὑ θεραπεύεται, „πλὴν εἰ μήτις διὰ ἡλικίαν ἄωρον, καὶ. εἶα ἂν εἴη ἡ νηπιώδης. ὃν τε Γρηγόρ. ὁ Θεολόγ. περὶ νηπίων φησὶ. (λόγῳ εἰς τὸ βάπτισμα, σελ. 648.

νηπι-

γὰρ ὢν τῷ βαπτίσματι κοινωνεῖ τῷ τιχτομένῳ, ὡς ἰδιοπροαιρέτῳ ἐπὶ τῇ ὁμολογίᾳ.

ΚΑΝΩΝ Ζ'. (α)

Μὴ δεῖν Πρεσβύτερον εἰς γάμους διγαμούντων ἐξιάσθαι (1), ὡς μετάνοιαν αἰτούντων (2).

ΚΑΝΩΝ Η'. (ϛ)

Οὗ τινος ἡ γυνὴ ἐφωράθη μοιχευθεῖσα, ὁ κληρῶται. ὡς ἡ ὁ Ἱερατικὸς, ἐὰν μὴ διαζευχθῇ τῆς μοιχευθείσης, κωλύεται τοῦ ἰδίου βαθμοῦ (3).

ΚΑ-

(α) Βασιλ'. δ'. Νικηφ'. ϛ'. (ϛ) Ἀποϛ'. κη'. κέ. τῆς ϛ'. γ'. δ'.

» νήπιον ἔχεσθε; μὴ λαβέτω καιρὸν ἡ κακία. ἐκ βρέφους ἁγιασθήτω (ἤτ» τ' ἂν βαπτισθήτω) ἐξ ὀνύχων καθιερωθήτω τῷ πνεύματι. ὡ δὲ σελίδ. 658. αὐτόθι, ,, δεον, λέγει Τὰ νήπια βαπτίζεσθαι ἔπερ]ος κίν» δυνος ἐπέγοι. κρεῖσσον γὰρ ἁγιασθῆναι, ἢ ἀπελθεῖν ἀ» σφράγιςα, ἢ ἀτέλεςα, ἢ τότε λόγος ἡμῖν. ἡ ὀκταήμερος περιτομὴ, » τυπικήτις ἦσα σφραγὶς. ἢ ἀλογίσοις ἔτι προσαγομένη. ὡς δὴ ἢ » τῶν Φλοιῶν χρῆσις, σλὰ τῶν ἀναισθήτων Φυλατ]ομένα τὰ πρωτότοκα. ἄπλα ἢ πρὸ τῶν μ'. ἡμερῶν, ἔγε δ' ἀσθένειαν βαπτισθῶσιν, ἐξ ἀνάγκης θηλάζονται ὑπὸ μητρὸς, ἀκαθάρτου ἔτι ὄσης σλὰ τὰ ἐμμήνια (Πέτρου χαρτοφύλακος, τομῳ ϛ'. τῶν Συνοδικῶν, σελ. 1003. ἀποκρίσει, κά.), καίτοι ἀπ' ἐναντίας τότε ὁ Νικηφ'. Κανὼν λζ'. ἀποφαίνεται.

(1) Ἡ μὲν εὐλογία τοῦ ἱερέως ἢ ὡς ἁπλῶς ἀναγκαία τῇ κατὰ συγχώρησιν ταύτῃ διγαμίᾳ ἢ ὡς Ἱερουσι, ἐπιτρέπεται αὐτῷ τούτῳ τῷ Ἱερεῖ, ἡ δὲ συνεχίασις ὡς ὑστέρου ὄσα, κωλύεται, καθ' ὃ ἢ οὐδὲ ςεφανοῦνται οἱ Δίγαμοι, κατὰ τὸν ϛ'. Νικηφόρου ἢ κατὰ τὸν Νικήταν Ἡρακλείας (κεφ. α'.) καὶ τι λέγοντα τὰ τοιαῦτα μὴ παρατηρεῖσθαι ὑπὸ τῆς μεγάλης Ἐκκλησίας. ἢ Πατριάρχης γὰρ ὤπται, ἢ Ἀρχιερεὺς ὑπὸ Ζωναρᾶ συνεχιωμένοι Βασιλεῖ δευτερογαμήσαντι. ἢ ςέφανοι ἐπὶ τῶν τοιούτων τίθονται. ὅρα ἢ εἰς τὸ Εὐχολόγιον ἐν τῷ γάμῳ τῶν διγαμούντων.

(2) Ὀφειλόντων δηλαδὴ αἰτεῖν, ὡς ὑπὸ ἐπιτιμίου.

(3) Καθὼς ὁ Ἱερατικὸς, φασιν, ἐὰν τὴν ἐλεγχθεῖσαν ὅτι ἐμοιχεύθη κἂν τε ἑκοῦσα, κἂν τε ἄκουσα, εὐθέως χωρίσῃ ἑαυτῷ Σύζυγον, ἐ κωλύεται τοῦ λειτουργεῖν. ὅτιο ἢ ὁ Λαϊκὸς, ὡμέσως τοῦτο ποιήσας, δύναται Ἱερᾶσθαι, ἐὰν δηλονότι ἀμφότεροι μὴ Φθάσωσι μιαθῆναι μετὰ τὴν μοιχείαν. καὶ τοι τούτοις ὁ Βαλσ. ἡ συνᾴδει, οἴεται γὰρ τὸν μὲν Ἱερέα, μὴ καθαιρεῖσθαι, (διαζυγέντα δηλονότι), τὸν δὲ Λαϊκὸν, εἰ ἢ διαζε-

χθῇ

ΚΑΝΩΝ Θ'. (α)

Ὁ πρὸ χειροτονίας ἡμαρτηκὼς σώματι (1) Πρεσβύτερος, ἢ ὁμολογήσας (2), μὴ προσφερέτω (3), μένων ἐν τοῖς λοιποῖς (4) διὰ τὴν ἄλλην σπουδήν. τὰ γὰρ λοιπὰ (5), ἁμαρτήμα-

(α) Ἀπος. κε'. τῆς ἁ. θ'. τῆς ς'. δ'. καὶ. Καρθ. λε'. ρ'. καὶ. Νεοκαισ. ἁ. ἡ. ἰ. Βασιλ. γ'. ιζ'. λδ'. νά. ὁ. Βλέπε ἢ τὸν. η. Νικολάου.

χθῇ τῆς τοιαύτης. μὴ προσαναβιβάζεσθαι. ἀλλὰ τὸν. μή. ὡς Φησι. Τῶν Ἀποστόλων. προσίθησι δὲ ἔτι. ὅτι ἡ γυνὴ καὶ αὐτὴ ὁμολογήσῃ μοιχευθῆναι. ἐ καταδικάζεται. ὅπερ ἐστὶ ἢ κανόν Φησι. πλὴν εἰ μὴ ἐλεγχθῇ ὑπὸ πέντε μαρτύρων. Κατὰ δὲ τὸν τῆ Λέοντος. ἢ Κωνσταντίνου Νεαρὰν. ἐ καθαιρεῖται συμμιγνύμενος τῇ κατὰ βίαν μιανθείσῃ. ἴσως ἀλλὰ τὸν μθ'. Βασιλείου. ἢ Γρηγορίου Νεοκαισαρείας. (1) Μέχρι μίξεως σαρκικῆς (Ζωναρᾶς. (2) Ἐὰν μὴ εἴχοθεν ὁμολογήσῃ τὴν πρὸ τῆς χειροτονίας γενομένην παρ' αὐτῷ σαρκικὴν μίξιν. ἀλλ' ὑπ' ἄλλων ἐλεγχθῇ. τότε ἢ κατὰ τὸν Βασίλ. καθαιρεῖται τελείως. ἢ μένει ὡς Λαϊκός.

(3) Ὥστε δύναται κατὰ τοῦτον τὸν Κανόνα ἢ ἐξομολογησάμενος πνευματικῷ τῷ πρόσωπῳ τὸ οἰκεῖον σωματικὸν ἁμάρτημα (ὑπάρχον δήπου κωλυτικὸν τῆς Ἱερωσύνης). παραιτηθῆναι ταύτης. χωρὶς τοῦ περιμεῖναι δηλαδὴ ἔλεγμόν. καθὼς δοκεῖ ἴσως σημαίνεσθαι ὁ γ'. Κανὼν τοῦ ἁγίου Κυρίλλου. οὗτινα ἢ ἀγωνιστικώτερον ἂν εἴποιμι ῥηθῆναι. ὅρα δὲ ἢ τὴν εἰς αὐτῷ τῷ Κανόνι τοῦ ἁγίου Κυρίλλου ἀ. σημείωσιν ἢ τὰ εἰς αὐτῇ ἐμφερόμενα τοῦ θείου Χρυσοστόμ. Καὶ ὁ Βαλσαμ. δὲ (εἰς τῷ. κς'. Βασιλ.) τούτῳ τῷ Κανόνι. Φησὶ (τουτέστι τῷ θ'. Νεοκαισαρ'.) ἀκολουθῶν ὁ μέγ. Βασιλ'. ἀποφαίνεται ὅτι ἐκ ἔχει ὅτε εὐλογίαν. ὅτε ἁγιασμὸν ὁ κατὰ ἄγνοιαν ἀθεμιτογαμήσας Πρεσβύτερος. (4) Λοιπὰ τῆς Ἱερωσύνης εἰσαῦθα. ὅ τε Ζωναρ. ἢ Βαλσαμὼν ἤγνυται τὴν ἱερατικὴν τιμὴν. ἢ καθεδρίαν. ἢ τὴν εἰς τῷ θυσιαστηρίῳ τῶν ἁγιασμάτων μετάληψιν. ὅρα ἢ τὸν. ἡ. Νικολάου. ἢ τὴν. ιγ'. ἀπόκρισιν Συμεὼν τοῦ Θεσσαλονίκης σελίδι. 334. ς. ὅπου Φησὶν ὅτι οἱ πρὸ τῆς χειροτονίας. ἢ μετὰ. ἁμαρτήσαντες. σωτηρίαν λαβεῖν ἐ δύνανται. εἰ μὴ πρότερον ἀποσῶσι τῶν ἁγιωτάτων ἔργων τῆς Ἱερωσύνης. ἢ πρόσεχες ὅτι ἔργα τῆς Ἱερωσύνης λέγει. ἢ ἐχὶ μόνην τὴν λειτουργίαν. (5) Λοιπὰ δὲ ἁμαρτήματά εἰσι. τὰ π. τῆς μίξεως. ἄτλα. ἢ ἡττονα τοῦ Φιλήματος. τὰ γὰρ πλέον ἐκείνης. καθαιρέσεως γίνονται αἴτια. κατὰ τὸν. ὅ. Βασιλείου. ἐκεῖνα δὲ τὰ ἡττονα τοῦ Φιλήμ. πρὸ μὲν τῆς χειροτονίας γινόμενα. ἀφίενται δι' ἐκείνης. μετὰ δὲ ταύτην πραττόμε-

τήματα, ἔφασαν οἱ πολλοὶ (1), ἢ τὴν χειροτονίαν ἀφιέναι (2). ἐὰν δὲ μήτε αὐτὸς ὁμολογῇ μήτε ἐλεγχθῇ, ἐπ' αὐτῷ κείσθω. ΚΑΝΩΝ Ι'. (α)

Καὶ οἱ Διάκονοι δὲ εἰ ὡσαύτως ἁμάρτωσι, τὴν τῦ ὑπηρέτυ (3) τάξιν ἐχέτωσαν. ΚΑΝΩΝ ΙΑ'. (β)

Μηδεὶς πρὸ τῶν τριάκοντα ἐτῶν χειροτονείσθω Πρεσβύτερος, εἰκὸν ἢ πάνυ ἄξιος ᾖ (4). ΚΑΝΩΝ ΙΒ'. (γ)

Περὶ τῶν ἐν αἱρέσει βαπτισθέντων, ἐπειδὴ ἐξ ἀνάγκης ἡ πίστις αὐτῶν, ἐχ Ἱερῶνται (5), εἰ μὴ σπουδαῖοι φανῶσιν, ἢ ἢ διὰ σπά-

νιν

(α) Τὰ αὐτὰ τοῖς ἀνωτέρω. (β) Τῆς ε'. ιθ'. ιε'
(γ) Ἀπος'. π'. τῆς ά. β'. Κυρίλλυ δ'.

γόμενα, ἀργίαν προσρίζεσι, κατὰ τὸν αὐτὸν ἅγιον μεγ'. ὡ τῷ αὐτῦ, ὁ. Κανόνι. (1) Οὐδὲ τῦτο ὡς ὁμόλογον εἶπεν ὁ Κανὼν, ἀλλὰ κεκολασμένως ἔφασαν οἱ πολλοὶ, ἀντὶ τῦ, ὡς παράτινων λέγεται.

(2) Ἤτις χειροτονία ἐπὶ μὲν τῶν Ἀρχιερέων, ἢ Ἱερέων (κατὰ τὸν Συμεὼν Θεσσαλονίκης, ἐρωτήσει κέ. σελ. 340. ἢ 345. ὡ μόνῃ ᾖ τελέα λειτυργία τελεῖται, ἐπὶ δὲ τῶν Διακόνων, ἢ ὡ τῇ προηγιασμένῃ καίτοι τῦτο τῷ Βαλσαμῶνι ᾗ δοκεῖ ὡ τῇ πρὸς Μάρκον, νή. ἀποκρίσει, ἔτος γὰρ πάντας ἕλκεται ἢς ὡ τῷ Βήματι χειροτονυμένυς ὡ μόνῃ τελεῖσθαι τῇ τελέᾳ λειτυργίᾳ). Καὶ Ὑποδιακόνυς μὲν, ἔξεσι ἢ πλέυς ἅμα ὡ τῇ αὐτῇ λειτυργίᾳ ἡμῖν δὲ ἢ τὺς ὑπὲρ αὐτὺς, ἤγυν Διακόνυς Ἱερεῖς, ἢ Ἐπισκόπυς χειροτονῆναι. Καὶ ὁ μὲν Ἐπίσκοπος, εὐθὺς μετὰ τὸν Τρισάγιον ὕμνον χειροτονεῖται, ὁ δὲ Πρεσβύτερος, μετὰ τὴν ὡ τῇ θέσι Τραπέζῃ κατάθεσιν τῶν ἁγίων δώρων. ὁ δὲ Διάκονος, μετὰ τὸ, Καὶ ἔξωθεν τὰ ἐλέη τῦ μεγάλυ Θεῦ ἢ Σωτῆρος ἡμῶν Ἰησῦ Χριςῦ, (Συμεὼν ἐρωτήσει, λθ'.). (3) Ὑποδιάκονος τυχὸν γενόμενος, ἢ Ἀναγνώσης, ἢ Ψάλτης, ὃς ἀχειροτονήτυς, ὅ, τε Βασιλ'. (Καν'. να'.) ἢ ὁ Βαλσαμ. καλεῖ. (4) Ὁ χειροτονηθεὶς ἀλλ' ἴν, καίτοι παρὰ Κανόνας ὡεργῶν. ὅμως τελοῦσι τὰ Μυςήρια, ἢ ὅρα Συμεὼν ἐρωτήσ. ιγ'. σελ. 333. ἢ τὴν ὡ τῷ Γεννα δίῳ Κανόνι σημείωσιν, ὡ ᾗ ἀναφέρονται τὰ Γῦ θέᾳ Χρυσοςόμ. „ἤγυν πάντας μὲν ὁ Θεὸς ᾗ χειροτονεῖ, ἀλλὰ πάντων δὲ ὡεργεῖ, κξ'. (5) Οἱ γὰρ Ἰουδαῖοι ἤγυν οἱ ὡ ὑγιᾶ μὲν ὄντες, ἢ ἀναβαλλόμενοι τὸ βάπτισμα, ὡ κινδύνῳ δὲ τῆς ζωῆς αὐτῶν περισάντες, ἢ ὅτε βαπτισθῶσι, ἀριδήλως παρισῶσιν, ὅτι ᾗ πίςῳ, ἀλλ' ἀ-

νάγκη

νιν ἀνθρώπων.

ΚΑΝΩΝ ΙΓ'. (α)

Οἱ ἐπιχώριοι (1) Πρεσβύτεροι μὴ λειτουργείτωσαν ἐν τῇ πόλει, παρόντος Ἐπισκόπου, ἢ Πρεσβυτέρου πόλεως, ἀπόντων δὲ, ἢ μάλα, εἴγε κληθῶσι.

ΚΑΝΩΝ ΙΔ'. (β)

Περὶ χωρεπισκόπων, ὅτι εἰς τύπον ὄντες τῶν ἑβδομήκοντα (2), διὰ τὴν αὐτῶν φιλοπτωχείαν (3), προσφέρεσι τιμώμενοι.

ΚΑΝΩΝ ΙΕ'. (γ)

Ὅτι ἑπτὰ (4) Διακόνους δέον εἶναι ἐν ἑκάστῃ πόλει, μαθήσῃ δὲ τοῦτο ἀπὸ τῆς βίβλου τῶν πράξεων.

ΟΙ ΤΗΣ

(α) Τῆς δ'. ς'. (β) Τῆς α'. ἡ. Ἀντιοχ'. ἡ. ι'. Ἀγκύρ. ιγ'.
(γ) Τῆς ς'. ις'. κεφ. ς'. ✠ 5.

ναγκὴν τοῦτο ἐδέξαντο, ἀλλὰ τοῦτο ἢ ἀδοκίμους.

(1) Οἱ χωρίων, ἢ κωμῶν Πρεσβύτεροι, μὴ λειτουργείτωσαν ἐν τῇ πόλει, παρόντων Ἐπισκόπου, ἢ Πρεσβυτέρων ταύτης τῆς πόλεως, χωρὶς τῆς τούτων γνώμης. ἢ ἄλλως, οὐκ ὀφείλει ὁ Ἐπίσκοπος τοῖς τοιούτοις δηλαδὴ ἐπιχωρίοις Πρεσβυτέροις ἐπιτρέψαι τὸ Ἱερουργεῖν ἐν τῇ πόλει, ἤτοι αὐτῷ ἐπὶ παρουσίᾳ, ἢ τῶν αὐτῷ κωλυόντων Πρεσβυτέρων.

(2) Ἔοικεν ὁ Κανὼν τούτους μὴ θέλειν Ἀρχιερεῖς. οἱ γὰρ Ἀρχιερεῖς, εἰκονίζουσι τοὺς ιβ'. Ἀποστόλους. ἦσαν ὁμως ἐξ αὐτῶν ἢ Ἀρχιερεῖς (Ἀντιοχ'. ἰ.). (3) Τὰς γὰρ τῶν Ἐκκλησιῶν, ὧν προείσαντο, εἰσόδους εἰς πτωχοὺς ἀναλίσκειν ὤφειλον, ἢ προσείσθαι αὐτῶν ἀπὸ τῶν Κυριακῶν χρημάτων, τῶν ἢ πτωχικῶν λεγομένων (Ζωναρᾶς, ἢ Βαλσαμών. (4) Οὐκ εὐτάκτως παρὰ τοῖς Συνόδοις τὰ τῶν Ἀποστολικῶν Πράξεων ῥητὸν ἐξείληπται, καθὼς ἢ ὁ Ζωναρᾶς φησι. ἀλλὰ τοῦτο ἢ ἐβελτίωσε τοῦτον τὸν Κανόνα ἡ ς'. Συνοδος ἐν τῷ αὐτῆς ις'.

ΟΙ ΤΗΣ ΕΝ ΓΑΓΓΡΑ ΑΓΙΑΣ ΣΥΝΟΔΟΥ ΚΑΝΟΝΕΣ ΕΙΚΟΣΙ ΠΡΟΣ ΤΩ ΕΝΙ.

Προθεωρία περὶ ταύτης.

Ἐν Γάγγρᾳ τῇ Μητροπόλει τῶν παφλαγόνων Σύνοδος, συνεξῆ ὢν ἔτει, τλ'. ἀπὸ Χριστοῦ (1) μετὰ τὴν ἐν Νικαίᾳ ά. ἐπὶ Κωνσταντίνου τῇ αὐτῇ τοῦ μεγάλου, κατὰ Εὐσταθίου τινός, τῶν κατ' αὐτὸν, ἐπιτροπεύσαντος τὴν ἐν Σεβαστείᾳ τῆς Ἀρμενίας Ἐκκλησίαν (2). πάσαις δὲ ταύταις ταῖς αἱρέσεσιν, ἃς ἑνὶ ἑκάστῳ ἑαυτῆς διαλαμβάνει ἡ ἁγία αὕτη Σύνοδος Κανόνι, ὑπαίτιοι ἦσαν οἱ Εὐσταθιανοί.

ΚΑΝΩΝ Α'. (α)

Οἱ τὸν γάμον βδελυσσόμενοι, ὡς μὴ δυναμένον εἰσαγαγεῖν εἰς βασιλείαν, ἀνάθεμα.

ΚΑΝΩΝ Β'. (β)

Εἴτις τὸν χωρὶς αἵματος, ἢ εἰδωλοθύτου, ἢ πνικτοῦ ἐσθίοντα κρέα, καταχρίνει, ὡς μὴ ἔχοντα ἐλπίδα, ἀνάθεμα.

ΚΑΝΩΝ Γ'. (γ)

Οἱ προφάσει θεοσεβείας, δοῦλον ἀφιστῶντες τοῦ οἰκείου Δεσπότου, ἀνάθεμα.

ΚΑ-

(α) Ἀποστ. ε. καν. (β) Ἀποστ. καν. ξγ'. τῆς ς'. ξζ'. Ἀγκύρ. ιδ'. Βασιλείου πρ' ά. Τιμοθέου δ'. ζ.
(γ) Ἀποστ. πβ'. τῆς δ'. δ'.

(1) Καθὼς σημειοῖ ὁ Λατῖνος ποὸ τῶν τοῦ Ζωναρᾶ ἐξηγήσεων, κατὰ δὲ τὸν Δοσίθ. ὡς σελ. 976.) ὢν ἔτη, 340 (2) Βλάσαριος ἐν τῇ ἀρχῇ τοῦ ἑαυτοῦ Νομοκανόνου, ἐν ᾧ περὶ τῶν Συνόδων ἀφηγεται. ὅρα καὶ τὸν σημειωτὴν τοῦ ά. τόμου τῆς Ἐκκλησιαστικῆς Ἱστορίας, Μελετίου Ἀθηνῶν ἐν σελίδι, 363 βλέπε καὶ τὸν ά. τόμον τῶν Συνοδικῶν πραχτικῶν ἐν σελίδι, 201. 203.

ΚΑΝΩΝ Δ'. (α)

Οἱ διακρινόμενοι (1) ὥστε μὴ μεταλαμβάνειν παρὰ γεγαμηκότων Πρεσβυτέρων, ἀνάθεμα.

ΚΑΝΩΝ Ε'. (β)

Οἱ καταφρονοῦντες τῆς Ἐκκλησίας ἢ τῆς ἐν αὐτῇ συναξεως ἀνάθεμα.

ΚΑΝΩΝ ς'. (γ)

Οἱ ἰδίᾳ Ἐκκλησιάζοντες, χωρὶς τῆς γνώμης τοῦ Ἐπισκόπου, ἀνάθεμα.

ΚΑΝΩΝ Ζ'.

Δίον τὰς Ἐκκλησιαστικὰς καρποφορίας, ἐντὸς τῆς Ἐκκλησίας λαμβάνειν, ἢ διδόναι, γνώμῃ (2) τοῦ Ἐπισκόπου, ἢ τοῦ Οἰκονόμου. εἰ δὲ μὴ, ἀνάθεμα.

ΚΑΝΩΝ Η'.

Καὶ ὁ δίδους, ἢ ὁ λαμβάνων καρποφορίαν παρεκτὸς τοῦ Ἐπισκόπου, ἢ τοῦ Οἰκονόμου, ἀνάθεμα.

ΚΑΝΩΝ Θ'.

Ὅσοι παρθενεύουσιν, ὡς βδελυσσόμενοι τὸν γάμον, ἢ μὴ δι' αὐτὸ τὸ καλὸν τῆς παρθενίας, ἀνάθεμα.

ΚΑΝΩΝ Ι'.

Ὅσοι παρθενεύοντες διὰ τὸν Κύριον, κατεπαίρονται τῶν γεγαμηκότων, ἀνάθεμα.

ΚΑΝΩΝ ΙΑ (δ)

Οἱ ἐξευτελίζοντες τὰς ἐκ πίστεως ἀγάπας, ἢ τὰς διὰ τὸν Κύριον συγκλήσεις τῶν ἀδελφῶν (3), ἀνάθεμα.

ΚΑΝΩΝ ΙΒ'. (ε)

Εἴτις διὰ νομιζομένην ἄσκησιν, περιβολαίῳ (4) χρώμενος κατα-

(α) Ἀπος'. ε. τῆς ς'. ιγ'. (β) Τῆς ς'. π'. Γάγγρ. κ'. Σαρδικ. ιά. ιϛ'. ά. Τιμοθ'. β'. 8. Βασιλ. ἐρωτήσ. ή. περὶ βαπτίσματος.

(γ) Ἀπος'. λά. (δ) Τῆς ς'. οδ'. (ε) Τῆς ς'. κζ'. τῆς ζ'. ις'.

(1) Ὑποσελλόμενοι.

(2) Τὸ γνώμῃ τοῦ Ἐπισκόπου κξ' ἴσως ἐστιν ἐπεξηγηματικὸν τοῦ ἐντὸς τῆς Ἐκκλησίας. οἱ γὰρ αἱρετικοὶ Εὐσταθιανοὶ, κεχωρισμένως τοῦ Ἐπισκόπου ἐκκλησιάζοντες, ἢ τὰς προσαγομένας αὐτοῖς προσφορὰς, ἀλλήλοις διένεμον, ἄνευ γνώμης τοῦ Ἐπισκόπου.

(3) Τὰς μὴ ἐν τῇ Ἐκκλησίᾳ, (ἐπεὶ τοῦτο κεκώλυται ὑπὸ τῶν, μθ'. Καρθαγ'.) ἀλλ' ἐκτὸς ταύτης. (4) Ὁ Ζωναρᾶς περιβόλαια ὠνόμασε ταῦτα

καταφρονεῖ τῶν μετ' εὐλαβείας τὰς Βήρυς φορούντων, ἢ τὴν ἄλλην συνήθη ἐσθῆτα, ἀνάθεμα.

ΚΑΝΩΝ ΙΓ'. (α)

Γυνὴ ἀμφιεννυμένη ἀνδρῶαν στολήν, δι' ἀνομιζομένην ἄσκησιν (1), ἀνάθεμα. ΚΑΝΩΝ ΙΔ'. (β)

Γυνὴ καταλιμπάνουσα τὸν οἰκεῖον ἄνδρα, ὡς βδελυσσομένη τὸν γάμον, ἀνάθεμα. ΚΑΝΩΝ ΙΕ'. (γ)

Εἴτις προφάσει ἀσκήσεως, καταλιμπάνει μὴ τεκνοτροφῶν, ἢ παιδεύων τὰ οἰκεῖα τέκνα θεοσεβῶς, ἀνάθεμα.

ΚΑΝΩΝ ΙΣ'.

Οἱ προφάσει θεοσεβείας ὀλιγορῶντες Παῖδες τῶν Γονέων, μᾶλλον πίστεως (2), ἀνάθεμα. προτιμάσθω δὲ αὐτοῖς ἡ θεοσέβεια.

ΚΑΝΩΝ ΙΖ'. (δ)

Αἱ διὰ νομιζομένην ἄσκησιν, τὰς εἰς ὑπόμνησιν ὑποταγῆς δοθείσας κόμας ἀποχειρώσαι (3) γυναῖκες, ἀνάθεμα.

ΚΑ-

(α) Τῆς ς'. ξϛ'. (β) Ἀποστ. ἐ. καὶ τῆς ς'. ιγ' Γαγγ. α'. δ'. θ'.
(γ) Α'. Τιμοθ. ἐ. 8. 10 Ἐφεσ. ς'. 4. Τίτυ β'. 4.
(δ) Α'. Κορινθ. ια'. 3. 6. 10 καὶ 15. τῆς ς'. τῶ, μὴ. τὴν σημείωσιν.

ταῦθα τὰ ῥακώδη, (εἴτ' ἂν τριγώνια, οἷά εἰσι τὰ πυιχρὰ, ἢ τὰ τετριμμένα καὶ διερρωγότα) καὶ ἐπάνω τῶν ἄλλων ἐπιβλήματα καλεῖ ἄττινα ἐφόρουν. ὡς ἂν οὐ τῇ τοιαύτῃ στολῇ φαίνοιντο ἅγιοι. Βήρυς δὲ, τὰ Σηρικὰ ὑφάσματα ὀνομάζει, ἅπερ ὡς συνήθη ὄντα, εἴγε μάλιστα καὶ εὐλαβῶς ἐφορῶντο ὑπῆρχον ἀκατηγόρητα. ὅρα δὲ περὶ τῶν Σηρικῶν Νημάτων τῆς ζ'. τῶ. ις'. τὴν ά. σημείωσιν. (1) Ἐκ δὲ ἀντιδιαστολῆς, εἴγε ἦν ἀληθινὴν ἄσκησιν, τοιαύτην ὑπομένειαν ἐνεδύθησαν (οἷαι ὑπῆρξαν πολλαὶ γυναῖκες λανθάνουσαι τοὺς ἀνθρώπους διὰ τὴν ἑαυτῶν σωτηρίαν.) οὐ κατακρίνονται μᾶλλον δὲ, καὶ ἐπαινοῦνται.

(2) Τὸ μὲν μᾶλλον πίστεως δείκνυσιν ὅτι καὶ εἰ ἄπιστοι εἶεν, προνοίας ἐκείνους ἀξιοῦτωσαν οἱ παῖδες. τὸ δὲ, προτιμάσθω, κεῖ. ὅτι ἐὰν σπουδάζωνται, ἤτοι πρὸς αἵρεσιν (Αἱρετικῶν ἐκείνων ὄντων) ἢ πρὸς φαῦλον βίον (πίστεως μὴ τελούντων. οὐ μὴν δὲ καὶ θεοσεβῶν) ἀναχωρείτωσαν ἀπ' ἐκείνων. (3) Αἰσχρὸν γυναιξὶ τὸ κείρεσθαι, ἢ ξυρᾶσθαι, φησὶν ὁ θεῖος Παῦλος. ά. Κορ. ιά. 6 ὅρα δὲ καὶ ὅλον αὐτὸ τὸ κεφάλαιον. οὗ δηλοῖ καὶ τὸ ῥητὸν, τὸ, ὀφείλει ἡ γυνὴ ἐξουσίαν ἔχειν ἐπὶ τῆς κεφαλῆς τὸ κάλυ-

ΚΑΝΩΝ ΙΗ'. (α)

Οἱ διὰ νομιζομένην ἄσκησιν νηστεύοντες τὴν Κυριακήν, ἀνάθεμα.

ΚΑΝΩΝ ΙΘ'. (β)

Εἴτις τῶν ἀσκουμένων, ὑποκυρέντος ἐν αὐτῷ τελείου λογισμοῦ (1), λύει χωρὶς ἀσθενείας τὰς παραδεδομένας νηστείας, ἢ ὑπὸ τῆς Ἐκκλησίας Φυλασσομένας, ἀνάθεμα.

ΚΑΝΩΝ Κ'. (γ)

Ὅσοι τὰς τῶν μαρτύρων συναξεις, ἢ τὰς αὐτῶν μνήμας βδελυσσόμενοι αἰτιῶνται, ἀνάθεμα.

ΚΑΝΩΝ ΚΑ'. (δ)

Ταῦτα δὲ γράφομεν, οὐκ ἐκκόπτοντες τοὺς ἐν τῇ Ἐκκλησίᾳ Γραφικῶς βιοῦντας ἀσκεῖσθαι, ἀλλὰ τοὺς λαμβάνοντας τὴν ὑπόθεσιν τῆς ἀσκήσεως εἰς ὑπερηφανίαν κατὰ τῶν ἀφελεστέρων βιούντων ἐπαιρομένους τε, ἢ παρὰ τὰς Γραφὰς, ἢ τοὺς Ἐκκλησιαστικοὺς Κανόνας, καινισμοὺς εἰσάγοντας. ἡμεῖς τοιγαροῦν ἢ παρθενίαν, ἢ ἐγκράτειαν, ἢ ἀναχώρησιν τῶν ἐγκοσμίων μετὰ ταπεινοφροσύνης θαυμάζομεν. ἢ γάμου σεμνὴν συνοίκησιν τιμῶμεν. ἢ πλοῦτον μετὰ δικαιοσύνης, ἢ εὐποιΐας οὐκ ἐξουθενοῦμεν. ἢ λιτότητα ἀμφιασμάτων δι' ἐπιμέλειαν τοῦ σώματος ἀπεριέργον ἐπαινοῦμεν

(α) Ἀποστ'. ξς'. (β) Ἀποστ'. ξθ'
(γ) Τῆς ς'. ὁ. Γάγγρ. ἐ. καὶ. Σαρδικῆς, ια'. ιϚ'.

καλυμμα τὸ ἐπὶ τῆς κεφαλῆς ἐκείνης σημαίνεται, ὅπερ σύμβολον τὸ αὐτό ἐστι τῆς τε γυναικείας πρὸς τὸν ἄνδρα ὑποταγῆς, τῆς τε τοῦ ἀνδρὸς πρὸς τὴν γυναῖκα ἐξουσίας. καθ' ὅσον ἐκεῖνο κάτω νεύειν ταύτην παρασκευάζει, ἢ ὠτρέπεσθαι, ἢ τὸ τοῦ ἀρχομένου σχῆμα διατηρεῖν (Θεοφύλακτ. εἰς τὴν ἐξήγησιν τοῦ προειρημένου ῥητοῦ.) Καὶ ὑπὸ τῆς Φύσεως δὲ ἀδεμιᾶ γυναικὶ Φαλάκρωμα ἐγγίνεται (Ζωναρ. Φησί). ἢ ὁ Βασιλεὺς Θεοδόσιος τὰς κειρομένας γυναῖκας, ἐξωθεῖσθαι τῆς Ἐκκλησίας ὡρισθέτησε. τοὺς δὲ δεχομένους ταύτας Ἀρχιερεῖς καθαιρεῖσθαι (σωζόμενος βιβλ. ζ'. κεφ. ιε'.). (1) Τὸ κατανοημένου οὐ αὐτοῖς λογισμοῦ τελειότητος, μηκέτι δεῖσθαι νηστείας ἔλεγον. ὥθεν καὶ τὰς παραδεδομένας νηστείας ὑπὸ τῆς Ἐκκλησίας παρέλυεν.

νῶμεν. τὰς δὲ ἐκλύτους ἢ τεθρυμμένας ἐν τῇ ἐσθῆτι προόδους, ἀποστρεφόμεθα. ἢ τοὺς οἴκους τοῦ Θεοῦ, ἢ τὰς ἐπ' αὐτοῖς Συνόδους, ὡς ἁγίας ἢ ἐπωφελεῖς, τιμῶμεν ἢ ἀποδεχόμεθα. ἢ τὰς καθ' ὑπερβολὴν εὐποιΐας τῶν ἀδελφῶν τὰς κατὰ τὰς παραδόσεις διὰ τῆς Ἐκκλησίας εἰς τοὺς πτωχοὺς γινομένας μακαρίζομεν. ἢ συνελόντως. πάντα τὰ παραδοθέντα ὑπὸ τῶν θείων Γραφῶν. ἢ τῶν Ἀποστολικῶν παραδόσεων, ἐν τῇ Ἐκκλησίᾳ γίνεσθαι εὐχόμεθα (1).

ΟΙ ΤΗΣ

---

(1) Οὗτος ὁ ἔσχατος Κανὼν (καίτοι ἔξιν οὐκ ἀριθμοῦσιν αὐτὸν εἰς Κανόνα) ἀπολογία οἷόν ἐστι τῆς Συνόδου, καθότι ἐφάνη διὰ τῶν ἑαυτῆς ἀνωτέρω Κανόν. κωλυσάσης τινὰ τῶν νομιζομένων ἔργων ὠφελείων διὰ σφοδρᾶς ἐπιτιμίας τοῦ ἀναθέματος. ἦν γὰρ δ'. Σύνοδος εἰς μόνους τοὺς ἐπὶ χρήμασι χειροτονουμένους τῷ ἀναθέματι ἐχρήσατο. ἢ τοῖς στρατευομένοις μοναχοῖς ἢ Κληρικοῖς ἢ μὴ γνωσιμαχοῦσιν. ὁ δὲ θεῖος Χρυσός. ὁμιλίᾳ τῇ περὶ τοῦ μὴ δεῖν ἀναθεματίζειν. τόμ. α'. σελ. 693. ἐξοβελίζει ὅλως τὸ ἀνάθεμα τῶν πιστῶν γραφῶν ἔτω „ τί ἐστιν ὃ λέγεις ἀνάθεμα; ἢ „ ὅτι ἀναθέσθω ἔστος τῷ διαβόλῳ, ἢ μηκέτι χώραν σωτηρίας ἐχέτω. „ γενέσθω ἀλλότριος ἀπὸ Χριστοῦ. βλέπε τὸν αὐτὸν ἢ εἰς τὴν πρὸς Ῥωμαίους ἐπιστολ. ὁμιλίᾳ ις'. περὶ τοῦ αὐτοῦ ἀναθέματος πολλὰ φθεγγόμενον, ὧν οἷς ἢ „ καθάπερ φησὶ τοῦ ἀναθέματος τοῦ ἀνατιθεμένου τῷ Θεῷ „ ᾠδεῖς ἂν τολμήσειεν ἁπλῶς ταῖς χερσὶν ἅψασθαι, ᾠδὲ ἔγγυς γενέσθαι, „ ἔτω ἢ τὸν χωριζόμενον τῆς Ἐκκλησίας . . τοῦτο τῷ ὀνόματι ἀπὸ τοῦ ἐ„ ναντίου καλεῖ . . πάντων ἀπαγορεύων αὐτοῦ ἀποχωρίζεσθαι, ἢ ἀποπη„ δᾶν . . . . . ἢ τοὺς μὲν ἀπέχοντο, ὡς ἀναχεομένους Θεῷ. τοὺς δὲ, ὡς ἀλλο„ τριωμένους Θεοῦ. ἢ ἀποδιώκοντες τῆς Ἐκκλησίας. ὁ δὲ θεῖος Παῦλος τὸν Μητρόμικτον τὸν Γαλάτην, ἢ τὸν Ἀλέξανδρον παραδίδωσι τῷ ἀναθέματι (ἐπιστολ. α'. Κορινθ'. κεφ. ε'. 5. Τιμοθέου. α'. κεφ. α'. 20. Καὶ α' Κορινθ'. κεφ. ις'. 22. Γαλατ'. κεφ. α'. 8. κξ'.) Διὰ τὸ πολὺ τοίνυν βάρος τῆς ἐπιτιμίας ὡς ἔοικε ἢ ὁ τοῦ Κωνσταντίνου τοῦ Πορφυρογεννήτου τόμος, ὃς ἀναθεματίζει τοὺς ἀποστατοῦντας τοῖς Βασιλεῦσιν, ἢ πρακτικὸς (Βαλσαμὼν εἰς τὸ προοίμιον ταύτης τῆς Συνόδου). ὅτι δὲ διὰ τοῦ ἀναθέματος παραδίδοται ὁ ἄνθρωπος τῷ Σατανᾷ. ἢ ὁ Βλάσαρις τὰς ἀφορμὰς, ὡς ἔοικε λαβὼν ἀπὸ τοῦ Χρυσοστόμου. τὰ αὐτὰ φθέγγεται, (ὧν οἷς περὶ Γάγγρας). ἢ Ζωναρᾶς ὠν τῷ γ'. Κανόνι τῆς ἐν τῇ ἁγίᾳ Σοφίᾳ Συνόδου

ΟΙ ΤΗΣ ΕΝ ΑΝΤΙΟΧΕΙΑ ΣΥΝΟΔΟΥ ΚΑΝΟΝΕΣ ΠΕΝΤΕ ΚΑΙ ΕΙΚΟΣΙ.

Προθεωρία περὶ ταύτης.

Ὑπῆρξεν αὕτη ἡ Σύνοδος ἐπὶ Κωνσαντίου, ἐν ἔτει σωτηρίῳ, τμά. συνέβη δὲ τοῦτον τὸν τρόπον. Παρεγένετο ὁ προειρημένος Βασιλεὺς Κωνσάντιος εἰς τὴν Ἀντιόχειαν χάριν τοῦ Περσικοῦ πολέμου, μετὰ πέντε ἔτη ἀπὸ τῆς τοῦ οἰκείου Πατρὸς Κωνσαντίνου τελευτῆς, ὁπότε καὶ τὸν ἐκεῖσε περίκλυτον Ναὸν προανῄρατο ἐγκαινίσαι. ὃν ἀτελῆ μὲν εἴασεν ὁ αὐτοῦ Πατήρ. τετελειώκει δὲ αὐτός. τότε τοίνυν χαίρων δραξάμενος ὁ Κωνσαντινουπόλεως Εὐσέβιος, συνὼν τῷ Βασιλεῖ, ἔπεισεν αὐτὸν καὶ ἤθροισε Σύνοδον, ἡ. Ἐπισκόπων τῇ μὲν δοκήσει, ὅπως ἂν λαμπρότερα τὰ ἐγκαίνια γένωνται. τῇ δὲ ἀληθείᾳ, πρὸς ἀνατροπὴν τοῦ ὁμοουσίου τῆς ἁγίας Τριάδος, καὶ καθαίρεσιν τοῦ μεγάλου Ἀθανασίου (1). Προηγοῦντο δὲ ταύτης τῆς Συνόδου αὐτὸς ὁ Εὐσέβιος. ὁ Ἀντιοχείας Πλάκιτος. καὶ ὁ Παλαισίνης Μάξιμος (2), ἤ, (ὡς κεῖται παρὰ τοῖς Συνοδικοῖς (3) πραχτικοῖς) Ἀχάκιος, καὶ ἄλλοι συχνοὶ Ἀρειανοὶ ὄντες. ἀλλ' εἰ καὶ πρὸ ταύτης τῆς Συνόδου, καὶ μετὰ ταύ-

---

νόδου. καὶ Μελέτ. Ἀθηνῶν Ἐκκλησιαστικῆς Ἱστορίας τόμ. ά. σελ. 73. 10. Ἀλλὰ πάλιν ὁ θεῖος Χρυσ. ἐν τῇ προλεχθείσῃ ὁμιλίᾳ, περὶ τοῦ μὴ δεῖν ἀναθεματίζειν, τόμ. ά. σελ. 693. λέγων. „Τί ἂν τῆς τοσαύτης ἐπε„λάβοι ἀξίας, ἧς τὸ κοινὸν μόνον τῶν Ἀποστόλων ἠξίωται, καὶ εἰ κατὰ πᾶ„σαν ἀκρίβειαν τούτων ὡς ἀληθῶς γεγονότες διάδοχοι, πλήρεις χάριτος „καὶ δυνάμεως ἦσαν δῆλός ἐστι καὶ ταῖς Συνόδοις. καὶ αὐτοῖς τοῖς Κανονισταῖς Πατράσιν ἐπιτρέπειν τοῦτο. πολλαχοῦ γὰρ τῶν Κανόνων οὐτοιξὶ τούτῳ τῷ ἀναθέματι. ὃ παρὰ τῆς θείας Γραφῆς, καὶ ὡς ἀφιέρωμα ἱερὸν ἐκλαμβάνεται (Ἰησ. 6.) ὅρα καὶ Γρηγόρ. Θαυματουρ. (Καν. δ'.).

(1) Σωκράτ. βιβλ. ς'. κεφ. ἡ. θ'. ί. (2) Μελέτιος Ἀθηνῶν Ἐκκλησιαστικῆς Ἱστορίας τόμ. ά. σελ. 365. (3) Τόμῳ ά. σελ. 233.

ταύτην, συνεκροτήθησαν ἡ ἄλλαι Σύνοδοι ἐν Ἀντιοχείᾳ (1), αὐτη μοντοιγε μονη ἐξεδωκε Κανονας τὺς ἐφεξῆς, ἓς ἡ παρεδεξατο ἡ Ἐκκλησία (2).

ΚΑΝΩΝ Α'. (α)

Ὅσοι Ἱερατικοὶ ἑορτάζυσι τὸ Πάσχα μετὰ Ἰουδαίων, παρὰ τὸν ὅρον τῆς ἁγίας ἡ μεγάλης Συνόδυ τῆς ἐν Νικαίᾳ συγκροτηθείσης (3) Ἐπὶ Παρυσίᾳ τῦ μεγαλυ Κωνσαντινυ, καθαιρέμενοι, ἡ τῆς τιμῆς ἀφαιρείσθωσαν (ἧς ὁ ἅγιος Κανὼν, ἡ τὸ τῦ Θεῦ Ἱερατεῖον (4) μετείληφε) μετὰ τῶν συγκοινωνόντων αὐτοῖς. οἱ δὲ δημῶται τῆς Ἐκκλησιας ἀποβαλεσθωσαν.

ΚΑΝΩΝ Β'. (β)

Τὺς εἰσιόντας μὲν εἰς τὴν Ἐκκλησίαν, μὴ κοινωνῦντας δὲ Εὐχῆς (5) ἅμα τῷ Λαῷ, ἡ κατά τινα ἀταξίαν ἀποστρεφομένυς (6) τὴν θείαν Εὐχαριστίαν. τὺς τε Συνευχομένυς (καί τοι ἐν οἴκῳ) τοῖς ἀκοινωνήτοις, ἀποβάλλεσθαι τῆς Ἐκκλησίας.

ΚΑ-

(α) Ἀπος'. ξ'. (β) Ἀπος' θ'. Ι. ιά.

(1) Ὅρα εἰς τὸν. ά. τόμον τῶν πρακτικῶν Συνοδικῶν ἐν τῷ περὶ τὸ τέλος αὐτῆς τῆς Συνόδυ Καταλόγῳ. σελ. 233 βλέπε ἡ τὸν προειρημένον Μελέτιον Ἀθηνῶν. τόμ. ά. σελ. 266 287. 417. Σκόπει περὶ ταύτης τῆς Συνόδυ ἡ τὴν θ'. σημείωσιν τῦ δ'. τῆς αὐτῆς, ἡ τὰς δύω σημειώσεις τῦ ε'. τῆς ϛ'. (2) Ἐν τῷ ϛ'. Κανόνι τῆς ς'.

(3) Ὅτι ὁ περὶ τῦ Πάσχα διορισμὸς, παρὰ τῆς ά. Συνόδυ ἐγένετο, μαρτυρεῖ ἡ αὐτὴ ἡ πρὸς τὺς Ἀλεξανδρεῖς ἐπιστολὴ τῆς ἐν Νικαίᾳ ταύτης Συνόδυ, κειμένη ἐν κεφ. θ'. τῦ ά. βιβλίυ σελ. 177 τῆς Ἱστορίας τῦ Σωκρ'. λέγυσα „ εὐαγγελιζόμεθα δὲ ὑμῖν περὶ τῆς συμφωνίας τῦ ἁγιωτάτυ Πάσχα, ὅτι ὑμετέραις εὐχαῖς κατωρθώθη ἡ τῦτο τὸ μέρος κξ'. Ὅρα ἡ Ἐπιφάνειον αἱρέσ. ξθ'. ἡ Εὐσέβιον ἐν τῇ ζωῇ Κωνσαντίνυ, βιβλ'. γ'. κεφ. ιγ'. σελ. 139. Καὶ ὁ Βλάσαρις δὲ ἐν οἷς περὶ τῦ Πάσχα φθέγγεται ἐπ' ὄψιν λέγει τῦ μεγάλυ Κωνσαντίνυ γενέσθαι τὸν τοιῦτον ὅρον. βλέπε ἡ τὴν σημείωσιν τῦ ζ'. Τῶν Ἀποστόλων. (4) Οὔτε καθέδρας ὅτε κλήσεως, ὅτε μὴν ἑτέρυ προνομίυ Ἱερατικῦ ἀπολαυέτωσαν (Βαλσ).

(5) Εὐχὴν ἴσως τὴν τελευταίαν ἐνοεῖ, ἤγυν τὴν ὀπισθάμβωνον λεγομένην. (6) Τὸ Ἀποστρέφεσθαι ἐνταῦθα ὁ Ζωναρᾶς, ἀντὶ τῦ Ἀποφεύγειν ἐξεδέξατο. δι' εὐλάβειαν τάχα. ἡ οἷον διὰ ταπεινοφροσύνην. ἄλλοι δέ ἐπον, διὰ καταφρόνησιν, ἡ ἀμέλειαν. τὴν ἀταξίαν δὲ, ἀντὶ

ΚΑΝΩΝ Γ'. (α)

Τὸς ἐκ τῶν τῦ Ἱερατείυ ἀπελθόντας εἰς ἑτέραν παροικίαν, ἢ (παρωνῦντος μάλιστα τῦ Ἐπισκόπυ) μὴ ἐπαναστρεφομένυς, καθαιρεῖσθαι, ὡς μηκέτι χώραν ἔχειν ἀποκαταστάσεως. τὸν δὲ δεξάμενον Ἐπίσκοπον, ὑπὸ τῆς Συνόδυ ἐπιτιμᾶσθαι.

ΚΑΝΩΝ Δ'. (β)

(1) Εἴτις Ἐπίσκοπος ὑπὸ Συνόδυ (2), ἢ Κληρικὸς ὑπὸ τῦ οἰκείυ Ἐπισκόπυ καθαιρεθεὶς, λειτουργοίη πάλιν (3), μήτε ἐν ἑτέρᾳ Συνόδῳ ἐλπίδα ἀποκαταστάσεως, ἢ τόπον ἔχειν Ἀπολογίας (4). ἢ τὸς κοινωνῦντας δὲ αὐτοῖς, ἀποβάλλεσθαι τῆς Ἐκκλησίας.

ΚΑ-

(α) Ἅπος'. ιέ. ις'. (β) Ἅπος'. κή. Ἀντιοχ'. ἰϛ'. ιέ.

ἀντὶ τῆς ἀνευλόγυ αἰτίας ἐξέλαβον. (1) Τὸν αὐτὸν Καν'. ἢ ἡ δ'. Σύνοδος ἀναφέρει, ὡ δ'. πράξει αὐτῆς, ὑπὸ Λετίυ Ἀρχιδιακόνυ, ἢ Πριμμικηρίυ τῆς μεγάλης Ἐκκλησίας ἀναγνωσθέντα τόμ. Β'. σελίδι 149 τῶν πρακτικῶν. Ἀπορίας δὲ ἄξιόν ἐστι, διατὶ ὡ ἅπασι τοῖς πρακτικοῖς τῶν Συνόδων, πγ'. ἐπιγράφεται ἕτος ὁ Κανὼν, (αὐτόθ.); εἰμὴ εἴη σφάλμα γραφικόν. (2) Ἴσως Σύνοδον ὡταῦθα ὡνοεῖ ὁ Κανὼν τὴν τινων τῆς ἐπαρχίας Ἐπισκόπων, ἢ ὄχι πάντων, εἰ γὰρ πάντων εἴη, ἐκ ἐχωρισθήσεται ἡ ἑτέρα Σύνοδος, ἣν ἀναφέρει ὁ Κανὼν, ἀλλὰ τὸν ιέ. τῆς αὐτῆς. (3) Λειτουργίαν ὡταῦθα ἅπαν ὑπούργημα ὡνοεῖ τὸ κατὰ τὸ οἰκεῖον ἐπάγγελμα ἑκάστυ Ἐκκλησιαστικῦ. μὴ ἀξιυσθω ὢν ἀπολογίας, λειτουργήσας χωρὶς Β'. Συνοδικῆς διαγνώσεως ἔδει γὰρ ὑποφέρειν ἕως ταύτης, ἀλλὰ τὸν, ιδ'. τῆς ὡ Σαρδικῇ. (4) Σημέωσαι δὲ, ὅτι, ἐπειδὴ ὡ τῇ παρύσῃ Συνόδῳ ἔξαρχος ἦν ὁ ἁγιανὸς Εὐσέβιος, ἢ οἱ αὐτῦ ἀκόλυθοι (ὡς ὡ τῇ προθεωρίᾳ εἴρηται), τύτυ ὡνεκα ἀπροσδιόριστον εἶασαν οἱ τοιῦτοι τὸν παρόντα Κανόνα, εἰς τὸ καταδιώκειν εὐμαρῶς δι' αὐτῦ τὸς ὀρθοδόξυς Ἱερατικὸς, μάλιστα τὸν μέγαν Ἀθανάσιον. ὕτω δὲ ἔχει ὁ κατ' ἐκείνυς Κανών. „ Εἴτις Ἐπίσκοπος ἢ Πρεσβύτερος δικαίως, ἢ „ ἢ ἀδίκως καθαιρεθεὶς, ἑαυτῷ ἐπανέλθῃ, Συνόδυ δίχα τῆς Ἐκκλησί- „ ας, τῷ τοιῷδε μὴ δίδοσθαι χώραν ἀπολογίας, ἢ ἢ χωρὶς τῦ δικαίως, ἢ ἀδίκως προφέρεται, ὅς τις ἢ ἠθετήθη ὑπὸ τῦ ιδ' τῆς Σαρδικῆς. τὸν γὰρ ἀδίκως καθαιρεθέντα, ἢ ὑπερορῶντα τὴν καθαίρεσιν, μόνον πικροτέροις ῥήμασιν ἐπισκήπτει ὁ προκειμένος Κανὼν ταύτης τῆς Σαρδικῆς, σωφρονίζεσθαι, ἢ ὄχὶ ἀναπολογισίᾳ. ὅθεν αὐτός τε ὁ μέγας Ἀθανά-

ΚΑΝΩΝ Ε'. (α)

Τὸς παρεκτὸς γνώμης τῦ Ἐπισκόπυ Ἐκκλησιάζοντας, ἢ β'. (1) καλυμένυς παρ' ἐκεινυ, ἢ μὴ ὑπακόοντας, παντελῶς καθαιρεῖσθαι, ἢ μηκέτι θεραπείας τυγχάνειν. εἰ δὲ ἢ ἔτω θορυβῶσιν, ἐπι-

(α) Ἀπος'. λά. τῆς ς'. λά. τῆς αϐ'. ιϐ'. ιγ'. ιδ'. ιέ. Ἰαγγρ. ς'. Καρθ. ί. οϐ'. (ϐ) Ἀπος'. ιϐ'. ιγ'. λϐ'.

Θανάσιος. ἢ ὁ θεῖος Χρυσόστομος. κατὰ τὸν Σωκράτ. (βιϐλ'. ϐ'. ἀπὸ τῦ γ'. κεφαλ' ἕως τῦ, ί. ἢ βιϐλίῳ ς'. κεφ. 18.) κατεῖπον τύτυ τῦ Κανόνος, ὡς μὴ ὄντος τῆς καθολικῆς Ἐκκλησίας, ἀλλὰ τῆς τῶν Ἀρειανῶν. οὔτε γὰρ Εὐσεϐιανοὶ τὸν Ἀθανάσιον δι' αὐτῦ τῦ Κανόνος καθεῖλον. οὔτε ὡ Κωνσαντινυπόλει συνελθόντες Ἐπίσκοποι ἀλὰ τῦ αὐτῦ τὸν Χρυσος. ἐπεχείρησαν καθελεῖν, ἐφ' οἷς, χωρὶς τῦ περιμεῖναι ὁ ἅγιος ἄλλην Συνοδικὴν ἀγνωσιν τῶν κατ αὐτῦ λεγομένων. εἰσεπήδησε μετὰ τὸ καθαιρεθῆναι, εἰς τὸν ἑαυτῦ θρόνον. Καὶ ὁ Παπ δὲ Ἰννοκέντιος ὡ τῇ πρὸς τὺς ὡ Κωνσαντινυπόλει ὑπὲρ τῦ Χρυσοστόμυ αἰτιᾶται τὸν τοιῦτον Κανόνα, κατὰ τὸν Δοσίθεον (παραγράφω δ'. σελ. 133.). Ἐπεὶ τοίνυν ἔτοι οἱ ἅγιοι τῷ Κανόνι τύτῳ μεμφονται· ἡ δὲ δ'. οἰκυμενικὴ (ὅρα ὡ τῷ ἀνωτέρῳ ά. σημειώματι τῦ αὐτῦ τύτυ Καν'.) ἀποδέχεται, ὡσαύτως ἢ ἡ ς'. (ὡ τῶ αὐτῆς ϐ'. ὡ ᾧ ἐπικυροῖ τὺς Κανόνας). Ταύτη τοι προσδιορισθήτω (ἵνα ἀνέγκλητος μείνῃ) κατὰ τῦτον τὸν τρόπον. μὴ ἐχέτω τόπον ἀπολογίας ἢ ἐλπίδα ἀποκαταστάσεως. ὃς λειτυργοιη πάλιν μεθ' ὃν καθηρέθη δικαίως, (ἢ, Κανονικῶς) ἦγεν, Α'. δι' ἐγκλήματα φανερὰ, ἢ ἀξια καθαιρέσεως, (κατὰ τὸν τῶν Ἀποστόλων, κή.). Β'. ὑπὸ ὅλης συμφωνύσης Συνόδυ (κατὰ τὸν Ἀντιοχείας ιδ'. ιέ.). Γ'. παρὼν ὡ τῷ κρίνεσθαι, ἢ μὴ ἀπὼν, κατὰ τὰ ὁρισθέντα ὑπὸ τῦ Νεκταρίυ Κωνσαντινυπόλεως Συνοδικῇ διαγνώσει, ἢ ὅρα ταῦτα ὡ τῇ ϐ' σημειώσει τῦ ϐ'. Κανόνος τῆς ς'.), εἰ μήτι προσκληθεὶς, ὡς οἱ Κανονες διορίζυσιν, ὐκ ἀπήντησε (κατὰ τὸν Ἀπος. οϐ'.). Δ'. μὴ ὄντων φανερῶν ἐχθρῶν τῷ καθαιρυμένῳ τῶν κατηγόρων, μήτε τῶν αὐτῶν κατηγόρων. ἢ κριτῶν, καθὼς ταῦτα συνέϐη ἢ ἐπὶ τῦ ἁγίυ Ἀθανασίυ, ἢ ἐπὶ τῦ Χρυσοστόμυ) ὅρα ἢ τὸν, ιϐ' Ἀντιοχ'. ἢ τὸν, λς'. λζ'. Καρθαγ'. περιεργάσθητι δὲ τῦτον τὸν Κανόνα τὸν δ'. ἢ ὡ τῷ ϐίῳ τῦ Χρυσος'. παρὰ τῷ Μεταφρασῇ, τῷ τε εἰς Ἑλληνικὴν φράσιν ὄντι χειρογράφῳ, ἢ τῷ εἰς τὴν κοινὴν ἐκδεδομένῳ. τῷ Νέῳ Θησαυρῷ, ὡ σελιδι, 113. ὃν Κανόνα τῷ ἁγίῳ οἱ ἐναντίοι Ἀρχιερεῖς προέτεινον.

(1) Ἐν ἄλλοις πρόσκειται, ἢ τρίτον.

ἐπιστρεπτέσθωσαν (1) διὰ τῆς πολιτικῆς ἀρχῆς (2).

ΚΑΝΩΝ ε'. (α)

Τὸν ἀφωρισμένον παρὰ τῶ ἰδίω Ἐπισκόπω, μὴ δεκτέον εἶναι παρ' ἄλλων. ἢ, ἐν Συνόδῳ ἀπολογείσθω.

ΚΑΝΩΝ Ζ'. (β)

Μηδένα χωρὶς εἰρηνικῶν (3) δέχεσθαι τῶν ξένων (4).

ΚΑΝΩΝ Η'. (γ)

Τὺς ἀνεπιλήπτους χωρεπισκόπους, διδόναι Κανονικὰς (5) Ἐπιστολάς. τὺς δὲ ἐν ταῖς χώραις Πρεσβυτέρους, πρὸς μόνους τὺς γειτονας Ἐπισκόπους (6) ἐκπέμπειν.

ΚΑΝΩΝ Θ'. (δ)

Οἱ Ἐπίσκοποι, προεξῶτα ἐχέτωσαν τὸν ἴδιον Μητροπολίτην, ἢ μηδὲν χωρὶς τούτου πραττέτωσαν, ἢ μόνα, ὅσα τῇ ἑαυτῶν ἐπιβάλλει παροικίᾳ. μήτε αὐτός τι ποιείτω χωρὶς τῆς τῶν λοιπῶν γνώμης.

ΚΑΝΩΝ Ι'. (ε)

Οἱ ἐν ταῖς κώμαις ἢ ταῖς χώραις (7), ἢ οἱ καλούμενοι χωρεπίσκοποι εἰ ἢ ἀρχιερεῖς εἰσὶ, καθιςάτωσαν Ὑποδιακόνους, Ἀναγνώσας,

(α) Ἀπος'. ιϐ'. ιγ'. λϐ'. (β) Ἀπος'. ιϐ'. ιέ. Καρθαγ'. ξέ.
(γ) Ἀπος'. ιϐ'. (δ) Ἀπος'. λδ'. (ε) Τῆς ά. Ἀγκύρ. ιγ'.

(1) Παιδευέσθωσαν πρὸς ἐπιστροφὴν μετανοίας.

(2) Καὶ Ζώτον Ζὸν Κανόνα ἀναφέρει ἡ δ'. Σύνοδος ἐν τῇ, δ'. πράξει αὐτῆς (σελ. 149. τόμ. τῶν Συνοδικῶν) ὃν ἢ κατὰ παράφραμα ἴσως γραφικὸν, ὡς ἢ περὶ ἀνωτέρω εἴποιμεν, ἐπιγράφει. πδ'.

(3) Αὗται ἢ ἀπολυτικαὶ λέγονται, ἢ Κανονικαὶ, ἢ συσατικαὶ ἐπιστολαί. (4) Τὺς ἀπὸ ἄλλης Ἐκκλησίας, εἰς ἄλλλην ἀπιόντας Κληρικὺς ἐννοεῖ. (5) Κανονικὰς, τὰς εἰρηνικὰς ἢ συσατικὰς ἐπιστολὰς ὀνομάζει, κατὰ Ζὸν Ζωναρᾶν. (6) Ἕπεται πάντως ἢ πρὸς Ζὺς περαιτέρω δίδόναι τοιαύτας ἐπιστολὰς τὺς Χωρεπισκόπους, ὅπερ ὐκ ἐπιτέτραπται τοῖς ἐν μικραῖς πόλεσι Πρεσβυτέροις, εἴτ' ὖν πρωτοϊερεῦσιν, ὡς Φησιν ὁ Βαλσμ. (7) Τὺς Πρεσβυτέρους ἢ μᾶλλον εἰπεῖν, πρωτοϊερεῖς, ἐννοεῖ ἐνταῦθα ὡς ἢ εἰς τὸ ἀνωτέρω ἡ ἑαυτῆς Φησι. τὺς δὲ ἐν ταῖς χώραις Πρεσβυτέρους κξ'. ἦσαν δὲ τοιῦτοι αὐτόθι, ἐπεὶ κεκώλυται,

σας, ἢ ἐφορκισάς (1), μὴ χειροτονείτωσαν δὲ, μήτε Πρεσβύτερον, μήτε Διάκονον δίχα τῦ τῆς πόλεως Ἐπισκόπυ, ἧ ὑποκείται αὐτός τε, ἢ ἡ χώρα. παρ' ᾧ ἢ αὐτοὶ οἱ χωρεπίσκοποι καθισῶνται. ἄλλως γὰρ ποιοῦντες, ἢ αὐτῆς τῆς τιμῆς καθαιρεθήσονται (2).

ΚΑΝΩΝ ΙΑ'. (α)

Ἱερὸς Βασιλέα μὴ ἀπέρχεσθαι Ἐπίσκοπον, ἢ Κληρικὸν, ἄνευ γνώμης ἢ γράμματος τῶν τῆς Ἐπαρχίας Ἐπισκόπων, μάλισα τῦ Μητροπολίτυ. ἢ γὰρ ἂν, ἢ τῆς κοινωνίας ἀποβλητέοι εἶεν, ἢ τῆς ἀξίας (3).

ΚΑΝΩΝ ΙΒ'. (β)

Ἐπίσκοπον, ἢ Κληρικὸν καθαιρεθέντα, μὴ εἰς Βασιλέα ἐκκαλεῖν. ἀλλ' εἰς μείζονα Σύνοδον. εἰ δ' ἦν, μήτε ἐλπιζέτω ὡς ἀποκατασήσεται.

ΚΑΝΩΝ ΙΓ'. (γ)

Οὐ χρὴ Ἐπίσκοπον, ἐν ἑτέρᾳ Ἐπαρχίᾳ Ἐκκλησιαστικόν τι ποιεῖν χωρὶς παρακλήσεως (4) τῦ ταύτης Ἐπισκόπυ, ἢ μὴν, ἢ αὐτὸν

(α) Σαρδ. ζ'. ἡ. θ'. κ'. Καρθ. ριζ'. (β) Τῆς β'. ς'. τῆς δ'. θ'. ιζ'. Καρθαγ'. ριέ. (γ) Ἀπος'. λέ. τῆς παρούσης κβ'.

ται, κατὰ τὸν νζ'. Λαοδικ'. ἢ ς'. Σαρδικ. τυγχάνειν Ἐπίσκοπον ἐν κώμῃ, ἢ ἀγραφείᾳ πόλει. (1) Ἐφορκισαὶ ἢ ἐξορκισαὶ, οἱ κατηχηταὶ, εἴτ' ἐν διδασκάλοι ὀνομάζονται τῶν εἰς τὴν πίσιν προσερχομένων ἀπίσων ἢ αἱρετικῶν. ἐπειδὴ κατηχοῦντες αὐτὸς, ἐξορκίζουσιν εἰς τὸ ὄνομα τῦ Κυρίυ τὰ ἐν αὐτοῖς ἐμφωλεύοντα πονηρὰ πνεύματα, ἵνα ἀπ' αὐτῶν δραπετεύσωσιν ὡς ἢ ἐκ τῶν, ὧν ἀναγινώσκει ὁ Ἱερεὺς εὐχῶν πρὸς τὸς μέλλοντας βαπτισθήσεσθαι γίνεται ξυμφανές. περὶ ᾧ ὁρα, ἢ τὴν ἀ σημείωσιν τῦ, β'. Τιμοθέυ ἢ τὸν, κς'. Λαοδικ'. περὶ τῶν ἐφορκιστῶν.

(2) Καθὼς ὁρίζεται ἢ ὁ ἀ. Καθὼν ταυτης τῆς Συνόδυ περὶ τῆς τοιαύτης ἀτιμίας. ἐν δὲ σχολίῳ τινὶ ἐν τῇ ἐπιτομῇ τῶν Κανόνων Ἀριστενοπλ τμήματι ἀ. ἐπιγραφ. β'. εὕρηται ὅτι, Χωρεπίσκοποί εἰσιν, οἱ νῦν ἔξαρχοι λεγόμενοι, εἴτε Πατριάρχυ εἰσιν, εἴτε Μητροπολίτυ. Καὶ Φώτιος δὲ τὸς ποτοτηρητὰς τῦ Ἀγαθώνος Πάπα Ῥώμης, ἐξάρχυς καλεῖ. (πρακτικ Συνόδ. τόμ. β'. εἰς τὴν ς'. Σύνοδον σελίδ. 703.)

(3) Καὶ ἀφορισέοι, ἢ καθαιρετέοι.

(4) Εἴγε παρακληθεὶς ἱερουργοίη. ὅτοι ὅμως ἢ τὴν ἐν τῷ Ἱεροῦ Συνθρόνῳ ἐγκαθίδρυσιν ποιήσεται. κατὰ τὴν τῦ Μιχαὴλ Πατριάρχυ, τῦ

Γ κά-

τὸν καθαιρεῖσθαι, ἢ εἴτι παρ' αὐτῷ Ἱεροπραχθείη, ἄκυρον εἶναι.

ΚΑΝΩΝ ΙΔ'. (α)

Περὶ κρινομένου Ἐπισκόπου πρὸς τῶν τῆς Ἐπαρχίας Ἐπισκόπων, ὅτι ἐὰν οἱ κρίνοντες ἀμφισβητῶσιν ἀλλήλοις εἰς τὴν περὶ ἐκείνου δίκην, μεταπαλεῖται ὁ Μητροπολίτης ἢ ἐκ τῆς πλησιοχώρου Ἐπαρχίας τοὺς ἐπικρινοῦντας, ἢ διαλύοντας σὺν τοῖς τῆς Ἐπαρχίας τὴν ἀμφισβήτησιν.

ΚΑΝΩΝ ΙΕ'. (β)

Ὁ παρὰ πάντων τῶν τῆς Ἐπαρχίας Ἐπισκόπων συμφώνως κατακριθεὶς Ἐπίσκοπος, μηκέτι ἀναδικαζέσθω (1).

ΚΑΝΩΝ ΙϚ'. (γ)

Σχολάζοντα (2) Ἐπίσκοπον σχολάζουσαν Ἐκκλησίαν χωρὶς Συνόδου τελείας, (ἐχούσης δηλονότι, ἢ τὸν Μητροπολίτην), καὶ τοι τοῦ Λαοῦ ταύτης ἐκεῖνον ἑλομένου, μὴ ἁρπάζειν. ἢ μήν, ἀποβληθήσεται (3).

ΚΑΝΩΝ ΙΖ'. (δ)

Περὶ τοῦ μὴ δεχομένου (4) τὴν ἐγχειρισθεῖσαν (5) αὐτῷ Ἐπισκοπήν,

(α) Ἀποστ'. οδ'. τῆς β'. ς'. τῆς δ'. θ'. ιϚ'.
(β) Ἀποστ'. κή. οδ'. τῆς β'. ς'. Σαρδικ. Ἀντιοχείας δ'.
(γ) Ἀποστ'. ιδ'. (δ) Ἀποστ'. λϚ'.

Ὑπάτου τῶν Φιλοσόφων διάγνωσιν Συνοδικήν, (Ἀρμενόπλ. ἐπιτομ'. τῶν Κανόν. σχόλ. σελ. ζ. τομ. α'. τῶν Συνοδικ. πρακτικῶν τμήματι α'. ἐπιγραφῇ. δ'.

(1) Ὅρα εἰς τὸν ε'. Σαρδικ. ὅτι καὶ Φυλάττεται ἔτος ὁ Κανών.

(2) Σχολάζων Ἐπίσκοπός ἐστιν, ὁ μὴ ἔχων ἐπαρχίαν, ἢ ὑπὸ ἐθνῶν κρατουμένην, ἢ ὑπὸ τοῦ λαοῦ τῆς πόλεως, ὡς ἢ ἐχειροτονήθη, μὴ δεχθείς, ἀλλ' αὐτοῦ δόντος αἰτίαν, ἀλλ' ἀταχτήσαντος τῷ λαῷ, κατὰ τὸν, λϚ'. Ἀποστόλων, ἢ τὸν τῆς Ἀντιοχείας, ἢ σχολάζουσα δὲ Ἐκκλησία, ἡ μὴ ἔχουσα Ἐπίσκοπον. ὅρα ἢ τὴν, ιά. πρᾶξιν τῆς δ'.

(3) Ἀποβληθήσεται τῆς ἐπαρχίας ἐκείνης. Ἄλλοι δὲ, τὸ, ἀποβληθήσεται ἐπὶ ἀφορισμῷ ἐξέλαβον. ἕτεροι δὲ, ἐπὶ καθαιρέσεως.

(4) Δῆλον ὅτι ἀλόγως. (5) Οἱ μὲν ἀπὸ ψήφων μόνον βούλονται τοῦτο ἐπιτραπῆναι τὴν ἐπισκοπὴν, (εἷς ἢ ὁ Ζωναρᾶς) οἱ δὲ, ἢ ἀπὸ τῆς τῶν

πὴν, ὅτι ἀφοριζεται ἕως ἂ δέξηται (1), ἢ ὁρίσῃ τι (2) περὶ αὐτῆ ἡ τελεια (3) Σύνοδος τῶν κατὰ τὴν Ἐπαρχίαν Ἐπισκόπων.

ΚΑΝΩΝ ΙΗ'. (α)

Ὁ ἐμποδιζόμενος Ἐπίσκοπος τῆς ἐγχειρισθείσης αὐτῷ παροικίας, ἢ παρὰ τὴν ἑαυτῆ αἰτίαν, ἀλλὰ διὰ τὴν τῆ Λαῆ παραίτησιν, ἢ δι' ἑτέραν αἰτίαν, μετασχέτω τῆς τιμῆς, ἢ τῆς λειτυργίας. μὴ παρενοχλείτω δὲ τοῖς πράγμασι τῆς, ἐν ᾗ συνάγοιτο Ἐκκλησίας (4). ἐκδεχέσθω δὲ ὃ ἂν ἡ τῆς Ἐπαρχίας Σύνοδος κρίνοι περὶ αὐτῆ (5).

ΚΑΝΩΝ ΙΘ'. (6)

Οὐ δεῖ Ἐπίσκοπον χειροτονεῖσθαι (6) ἄνευ τῆς παρυσίας τῆ Μητροπολίτη τῆς Ἐπαρχίας, ἢ τῶν κατὰ ταύτην Ἐπισκόπων ἢ πάντων, ἢ ἐξ ἀνάγκης, τῶν πλειόνων, εἰς τὸ αὐτοπροσώπως, ἢ δι' Ἐπισολῆς συμψηφίζεσθαι. ἄλλως γὰρ, ἀνίσχυρον εἶναι τὴν χειροτονίαν. εἰ δέ τινες τύτων ἀντιλέγειεν περὶ τὴν τοιαύτην κατάσασιν

(α) Ἀπος'. λς'. τῆς ζ'. γ'. Καρθαγώνης νή. νθ'.

(6) Ἀπος'. α'. τῆς δ'. ς'.

τῶν εὐχῶν Ἱεροτελεσίας. (1) Ἴσως γὰρ εἴποι ἄν τινας εὐλόγους αἰτίας, ὧν θεραπευθεισῶν, δέξεται τὴν ἐπισκοπὴν, ἢ ἄλλως μεταμεληθεὶς, τῦτ' αὐτὸ ποιήσεται. (2) Ἢ προβαλὼν ἄλλας αἰτίας ἀναιρέσας αὐτὸν μὴ δεχόμενον τὴν ἐπισκοπὴν, λυθήσεται τῆ ἐπιτιμίᾳ.

(3) Τελεία Σύνοδός ἐσι, ὡς εἴρηται ἐν τῷ ἀνωτέρῳ Κανόνι, ἡ ἔχυσα παρόντα ἢ τὸν Μητροπολίτην.

(4) Ἐπεὶ ἐμποδιζόμενος τῆ ἀπελθεῖν εἰς τὴν οἰκείαν ἐπαρχίαν ἴσως διὰ τὸ κατέχεσθαι ὑπὸ βαρβάρων, ἢ λῃσῶν τὴν ὁδὸν, ἢ ἢ αὐτὴν αὐτῆ τὴν ἐπαρχίαν ὑπὸ ἐθνες, ἢ διὰ ταῦτα, κατά τινα ἴσως πόλιν κατοικεῖ, ἢ παρὰ τῇ τῆς πόλεως ἐκείνης Ἐκκλησίᾳ συνάγεται. διὰ τῦτο ἐνοχλεῖν τοῖς πράγμασι τῆς Ἐκκλησίας ἐκείνης ὐκ ἐξέσαι αὐτῷ. ὅτε γὰρ διδάσκειν, ὅτε ἱερυργεῖν ἰσχύει ὁ τοιῦτος, εἰ μὴ ἐπιτραπείη.

(5) Ὅρα τὴν ἐν σημείωσιν τῆ ἀνωτέρω Κανόνος ἢ αὐτὸν τὸν Κανόνα.

(6) Χειροτονία ἐνταῦθα ὐκ ἔσιν ἡ τελεσιυργία, ἢ χειροθεσία, ἀλλ' ἡ ψήφος, (Ζωναρ.), ὁ δὲ Βαλσαμὼν θέλει μὴ παρυσιάζειν ἐν ταῖς ψήφοις τὸν Μητροπολίτην, τὴν δὲ παρυσίαν ἀντὶ προτροπῆς ἐκδέχεται.

σασιν (1) δι' οἰκείαν Φιλονεικίαν (2), τῶν πλειόνων ἡ ψῆφος κρατείτω.

ΚΑΝΩΝ Κ'. (α)

Δύω κατ' ἔτος γινέσθωσαν Σύνοδοι Ἐπισκόπων ἐν ἑκάστῃ Ἐπαρχίᾳ, παρὰ τῷ Μητροπολίτῃ, (ἢ ἐκ ἄνευ), διὰ τὰς Ἐκκλησιαστικὰς χρείας, ἢ τὰς τῶν ἀμφισβητουμένων διαλύσεις, ἡ μὲν, τῇ Δ'. Ἑβδομάδι τῆς Ν'. ἡ δὲ, τῇ Ι'. Ὀκτωβρίῳ.

ΚΑΝΩΝ ΚΑ'. (β)

Οὐ δεῖ τὸν Ἐπίσκοπον ἀπὸ μιᾶς Ἐπαρχίας μεταβαίνειν εἰς ἄλλην, κἂν τε ὑπὸ Λαῶν ἐκβιάζηται, κἂν τε ὑπὸ Ἐπισκόπων.

ΚΑΝΩΝ ΚΒ'. (γ)

Οὐ δεῖ τὸν Ἐπίσκοπον ἐπ' ἀλλοτρίας χειροτονεῖν, ἄνευ γνώμης τῷ ἐκείνης Ἐπισκόπῳ. ἄκυρος γὰρ ἔσῃ ἡ χειροτονία. ἢ ὁ χειροτονήσας ἐπιτιμηθήσεται.

ΚΑΝΩΝ ΚΓ'. (δ)

Ἐπισκόπῳ μὴ ἐξεῖναι καθιστᾶν ἑαυτῷ διάδοχον. εἰ δ' ἔν, ἄκυρος ἔσῃ ἡ τοιαύτη κατάστασις, μετὰ γὰρ τὴν τελευτὴν αὐτοῦ, ἡ Σύνοδος ψηφίσεται τὸν ἄξιον.

ΚΑΝΩΝ ΚΔ'. (ε)

Τὴν τῶν Ἐκκλησιαστικῶν Πραγμάτων διοίκησιν, ἐπὶ τῷ Ἐπισκόπῳ κεῖσθαι, ἢ φανερὰ εἶναι ταῦτα τοῖς Πρεσβυτέροις, ἢ Διακόνοις, ὥσπερ ἢ τὰ ἴδια τοῦ Ἐπισκόπου. ἵνα ἢ μετὰ τὸν ἐκείνου Θάνατον, ὦσι διακεκριμένα ἑκάτερα, ἢ οἷς ἂν ἐκεῖνος βούληται, κατα-

(α) Ἀπος'. λζ'. (β) Ἀπος'. ιδ'. λέ. τῆς ά. ιέ.
(γ) Ἀπος'. λέ. τῆς αὐτῆς γ'. τῆς β'. ϛ'. (δ) Ἀπος'. οδ'.
(ε) Ἀπος'. λή. μ'. μά.

(1) Κατάσασις ἴσως αἱ ψῆφοι εἰσὶν, αἱ καθιοῦσαι αὐτὸν Ἐπίσκοπον εἰς τήνδε τὴν πόλιν. (2) Εἰ δὲ μὴ κατὰ Φιλονεικίαν, ἀλλὰ κατὰ ἀλήθειαν ἀντιλέγειεν, ἢ οἱ ἐλάττους κρατείτωσαν. (ὅρα ὡ τοῖς Συνοδικοῖς πραχτικοῖς ἐπιτιμ. τῶν Καν'. τιμήματι. ά. ἐπιγραφῇ ά. σχόλιον Φιλοθέου Πατριάρχου. Ἀνάγνωθι ἢ τὰ τελευταῖα τοῦ ϛ'. Κανόνος τῆς ά.)

καταλιμπάνῃ τὰ ἑαυτῆ.

ΚΑΝΩΝ ΚΕ'. (α)

Τὸν Ἐπίσκοπον ἐξουσίαν ἔχειν ἐν τοῖς Ἐκκλησιαστικοῖς πράγμασιν, ὥστε καὶ τοῖς δεομένοις τούτων μεταδιδόναι (μετὰ γνώμης τῶν Πρεσβυτέρων, καὶ Διακόνων), καὶ αὐτὸν μεταλαμβάνειν εἰς τὰς ἀναγκαίας χρείας. Εἰ δὲ ἐπιτρέψῃ τῶν πραγμάτων ἐκείνων τὴν ἐξουσίαν τοῖς ἑαυτῆ συγγενέσιν, ὥστε βλάπτεσθαι (1) τοὺς λόγους τῆς Ἐκκλησίας ἢ ἄλλως τοὺς πένητας ὑστερεῖσθαι, αὐτόν τε καὶ τοὺς σὺν αὐτῷ διοικοῦντας, παρὰ τῆς Συνόδου τῆς Ἐπαρχίας εὐθύνεσθαι.

ΟΙ ΤΗΣ ΕΝ ΛΑΟΔΙΚΕΙΑ ΤΗΣ ΦΡΥΓΙΑΣ, ΑΓΙΑΣ ΣΥΝΟΔΟΥ ΚΑΝΟΝΕΣ ΕΞΗΚΟΝΤΑ.

Προθεωρία περὶ ταύτης.

Ἡ Κατὰ Λαοδίκειαν τῆς Φρυγίας ἁγία Σύνοδος συνέστη κατὰ μέν τινας, τῷ, τξδ'. ἀπὸ Χριστοῦ. κατὰ δέ τινας τῷ, τξζ'. ἣ καὶ τοὺς ἑφεξῆς συνεχρότησε Κανόνας, πρὸς κοινὴν ὠφέλειαν τῆς Ἐκκλησίας (2).

ΚΑΝΩΝ Α'. (β)

Οἱ νομίμως (3) δίγαμοι, (εἰ δὲ προεγίνετο Φθορὰ ἀλλήλοις) μεθ' ὃ δι'

(α) Ἀποστόλων μα'. (β) Βασιλείας δ'.

(1) Βλάπτονται πάντως οἱ λόγοι ἔστ' ἂν λογοπραγίαι τῶν τῆς Ἐκκλησίας πραγμάτων, ἐπεὶ λελήθοτως ἐκ τῶν συγγενῶν μετιόντων ταῦτα, εἰ τῆς Ἐκκλησίας μὴ εἴδησιν ἔχοντες τῶν ἀληθινῶν εἰσόδων καὶ ἐξόδων πῶς τὰς ἁρπαγὰς, ἔστ' ἂν οἰκονόμους τῶν τοιούτων, λόγους ποιεῖν ἀπαιτήσουσιν;

(2) Ὅρα περὶ αὐτῆς καὶ Μελέτιον Ἐκκλησιαστικὴν Ἱστορίαν, τόμ. α' σελίδι. 394.

(3) Ἐνδέχεται παρανόμως δίγαμῆσαι, καὶ διά τινα μεσολαβοῦσαν συγγένειαν.

ὁ δι' ὀλίγυ χρόνυ τῇ προσευχῇ σχολάσωσι ἢ νηςείᾳ, συγγνωμονηθήσονται.

ΚΑΝΩΝ Β'. (α)

Τὺς διαφόρως ἁμαρτάνοντας, ἢ προσκαρτερῦντας τῇ προσευχῇ τῆς ἐξομολογήσεως, ἢ μετανοίας, ἢ τὴν ἀποστροφὴν τῶν κακῶν τελείαν ποιυμένυς, μετὰ τὸν δοθέντα (1) ἀνάλογον εἰς μετάνοιαν τῦ πταίσματος καιρὸν, δεκτέον εἰς κοινωνίαν (2).

ΚΑΝΩΝ Γ'. (β)

Οὐ δεῖ τὺς νεοφωτίςυς προάγεσθαι ἐν Ἱερωσύνῃ.

ΚΑΝΩΝ Δ'. (γ)

Περὶ τῦ μὴ δεῖν τὺς Ἱερατικὺς τοκίζειν.

ΚΑΝΩΝ Ε'. (δ)

Οὐ δεῖ ἐν ταῖς χειροτονίαις (3) εἶναι ἀκροωμένυς.

ΚΑΝΩΝ ς'. (ε)

Οὐκ ἔξεςι τοῖς αἱρετικοῖς εἰς Ναὸν Θεῦ εἰσιέναι.

ΚΑ-

(α) Τῆς ά. ιϛ'. (β) Ἀπος'. π'. (γ) Ἀπος'. μδ'.
(δ) Λαοδικείας ε'. σ. τῆς ζ'. γ'. σ. ΘεοΦ'. ζ. σ. (ε) Ἀπος'. ί. μέ. Τιμοθ'. θ'. (ς) Ἀπος'. μς'. μζ'. τῆς ά. ἡ. ιθ'.

(1) Δῆλον ὅτι παρὰ τῦ Ἀρχιερέως, ἢ πνευματικῦ Πατρὸς ὁ ἀνάλογος καιρὸς δοκιμάζεται τε, ἢ δίδοται τοῖς μετανοῦσι.

(2) Πάντως δὲ τῶν μυςηρίων. (3) Χειροτονίαν αὐτὰ οὖθα. Τὰς ψήφυς οἶνοεῖ ὁ Ζωναρᾶς ἢ Βαλσαμών, ὅλα τὸ μὴ δεῖν τινὰς, πλὴν τῶν Ἐπισκόπων ἀκροᾶσθαι ἀτοπά τινα ἴσως, καθ' ἃ αἱ ψῆφοι γίνονται, λεγόμενα, ἢ συμβαίνειν ἐκ τύτυ κακὸν παράδειγμα τοῖς ἀκροωμένοις τύτοις. ἕτεροι δὲ ἐξηγῆται, ἀκροωμένυς ἐκλαμβάνοντες μίαν τάξιν Τῶν κατηχυμένων (ὅρα, ιθ'. τῆς ά. ἢ τὴν ϛ'. αὐτῦ σημείωσιν), ἑπομένως, ἢ τὴν χειροτονίαν τῇδε ἀντὶ τῆς Ἱεροτελεσίας ἐξεδέξαντο, ὡς μὴ θεμιτὸν τὺς τοιύτυς παρεῖναι κατὰ Τῦτον Τὸν καιρόν. μάλιςα γὰρ ἢ ὁ Θεόφιλος, ζ'. Κανόνι. ἢ ὁ Χρυσός. τόμῳ ά. περὶ Ἱερωσύνης. λόγῳ γ'. σελίδ. 392. θέλυσιν ἐπὶ παρυσίᾳ τῦ λαῦ γίνεσθαι τὰς ψήφυς. ἀλλ' οἱ μὲν Ἐπίσκοποι, δίκαιοί εἰσιν ἐκλέγειν τὸν Ἐπίσκοπον κατὰ προκειμένυν λόγον· τί δὲ Λαϊκοὶ, κατὰ ἑπόμενον (ἵνα μὴ ἕπηται ἀσυμφωνία τοῖς Κανόσι, τοῖς μὲν δηλαδὴ λέγυσιν, ἐπὶ παρυσίᾳ τῦ λαῦ (ὡς ὁ ῥηθεὶς ζ'. ΘεοΦ'.)· τοῖς δὲ, ἐπὶ μόνων τῶν Ἐπισκόπων, ὡς ὁ ιγ'. ταύτης.

ΚΑΝΩΝ Ζ'. (α)

Περὶ αἱρετικῶν, ἤγουν Ναυατιανῶν, ἤτοι Φωτεινιανῶν (1), ἢ τεσσαρεσκαιδεκατιτῶν, ὅτι ἐπιστρέφοντες, μυρίζονται.

ΚΑΝΩΝ Η'. (β)

Οἱ Φρύγες (2) λεγόμενοι, Αἱρετικοὶ, εἴτε Κληρικοὶ πρὸς αὐτοῖς νομίζοιντο, εἴτε καὶ μέγιστοι, προσερχόμενοι τῇ Ἐκκλησίᾳ, βαπτίζονται.

ΚΑΝΩΝ Θ'.

Τοὺς τῆς Ἐκκλησίας (3) μὴ εἰσιέναι εἰς τὰ κοιμητήρια (4), ἢ μαρτύρια λεγόμενα τῶν αἱρετικῶν Εὐχῆς ἕνεκα. ἢ μὴν, ἀκοινώνητοι ἔσονται.

ΚΑΝΩΝ Ι'. (γ)

Οὐ δεῖ πρὸς γάμου κοινωνίαν συνάπτεσθαι τοὺς τῆς Ἐκκλησίας αἱρετικοῖς.

ΚΑΝΩΝ ΙΑ'.

Περὶ τοῦ μὴ δεῖν καθίσασθαι ἐν Ἐκκλησίᾳ τὰς λεγομένας Πρεσβύτιδας (5), εἴτ' οὖν προκαθημένας (6).

ΚΑ-

(α) Ἀπος'. μς'. μζ'. τῆς α'. ἡ. ιθ'. (β) Τὰ αὐτὰ τοῖς ἄνωτ'. (γ) Τῆς δ'. ιδ'.

(1) Ὁμόφρονες ἤτοι Παύλῳ τῷ Σαμωσατεῖ. (Ἰωάν. Δαμασκ. Τόμ. α'. σελ. 92. αἱρέσ. οα') ὁ δὲ ἤτοι ἐνταῦθα, σλαζευκτικός. Ἀλλ' εἰπέρ εἰσὶ τοιοῦτοι, ἤγουν ὁμόφρονες τοῖς Παυλικιανοῖς, καὶ βαπτίζεσθαι ὀφείλουσι (τῆς α'. ιθ'.), καὶ οὐ μόνον μυρίζεσθαι.

(2) Οὗτοι οἱ Φρύγες, καὶ Μοντανισταὶ καλοῦνται.

(3) Οἱ τῆς Ἐκκλησίας εἰσὶν ἁπλῶς οἱ πιστοὶ, οὐχ Ἱερατικοὶ μόνον.

(4) Κοιμητήρια ὤνθα οἱ ὀνομασοὶ αὐτῶν κατέκειντο.

(5) Ὁ Φωσγίσκος Συριανὸς σχολιάζων τὸ, κη'. κεφ. τοῦ ς'. βιβλ'. τῶν Ἀποστολικῶν Διαταγῶν λέγει ὅτι, Πρεσβύτιδας ὁ Κλήμης, Τὰς Διακόνους ὀνομάζει. ὡς τοῦτο δύναταί τις μαθεῖν καὶ ἐκ τοῦ Ἐπιφανίου ἐν τῇ αἱρέσει τῇ κατὰ Κολλυριδιανῶν. Πρεσβύτιδες γάρ εἰσι καὶ αἱ ἐξηκονταετεῖς γυναῖκες, ἐξ ὧν Διάκονοι ἐγίνοντο. ὅρα καὶ τὸν θεῖον Παῦλον (α'. Τιμοθ'. ε' 2. 9. 10.). βλέπε καὶ τὸν, μς'. τῆς ς'. ὀνομάζοντα Πρεσβύτιδας τὰς Γραίας, καὶ τὰς Διαταγὰς δὲ ἄθρει, (βιβλ'. ς'. κεφ. νς'.).

(6) Ὁ Ζωναρ. λέγει, ὅτι αὗται ἐξῆρχον τῶν εἰσερχομένων εἰς τὰς Ἐκκλησίας γυναικῶν, καὶ καθίσων ἐκείνας εἰς εὐταξίαν. καὶ ὡς περιττὰς, ἢ δι' ἄλλην τινὰ ἀσύμφορον αἰτίαν ὁ Κανὼν ταύτας ἀπαγορεύει.

ΚΑΝΩΝ ΙΒ'. (α)

Οἱ Ἐπίσκοποι Συνοδικῶς καθιςάσθωσαν εἰς τὴν Ἐκκλησιαςικὴν ἀρχὴν, ἐκ πολλῶ ὄντες δεδοκιμασμένοι ἢ κατὰ τὸν λόγον τῆς πίςεως (1), ἢ κατὰ τὴν πολιτείαν τῦ εὐθεως λόγυ. (2)

ΚΑΝΩΝ ΙΓ'. (β)

Οὐ δεῖ τὸν ὄχλον ἐκ λέγειν τὰς Ἱερωθησομένας.

ΚΑΝΩΝ ΙΔ'. (γ)

Οὐ δεῖ διαπέμπεσθαι τὰ Ἅγια ὠ τῷ Πάσχα χάριν εὐλογίας (3) εἰς ἑτέρας παροικίας.

ΚΑ-

(α) Ἅπος'. ά. τῆς ά. δ'. (β) Ἅπος'. λ'. τῆς ζ'. γ'. σ. Λαοδικ. έ. σ. Θεοφ. ζ'. σ. (γ) Τῆς ς'. νϚ'. σημ.

---

(1) Λόγον τῆς πίςεως, ἴσως ὠνομεῖ τὸ διδάσκειν τὴν πίςιν. πολιτείαν δὲ τῦ εὐθέως λόγυ, τὸ εἶναι κατὰ τὴν πολιτείαν ὀρθότατον, ἢ εὐθύτατον, μὴ σκολιὸν δηλαδὴ, ἀλλ' ἁπλᾶ λέγει, ἐκεῖνα ἢ νοεῖν, ἢ πράτ]ειν.

(2) Ἐν ἄλλ. βίυ.

(3) Χάριν εὐλογίας ἢ ἁγιασμῦ ἐκείνων, πρὸς ὃς ἐξέλλοντο, ἤγυν τῶν Λαϊκῶν, ἢ οἷόν τι Πασχάλιον δῶρον. χάριν δὲ ἑνώσεως τοῖς Ἐπισκόποις, ὡς συγκοινωνοῖς, ἀλλὰ τῦτο ὡς ἀπρεπὲς, δικαίως ἤδη κωλύεται. Διὰ πόσας δὲ αἰτίας τοπαλαιὸν ἐκρατεῖτο Ἅγιος Ἄρτος, ὅρα τὸν Ἀρχωτ'. Εὐσράτιον ὠ τῷ περὶ μυςηρίων (σελ. 284.). ὅρα ἢ τὴν σημείωσιν τῦ, νϚ'. τῆς ς'. Σημείωσαι δὲ ὅτι, ἐὰν ἐπιλάθηται ὁ Ἱερεὺς ποιῆσαι ὤωσιν ὠ τῇ ἁγίᾳ Προθέσει, ἢ μετὰ τὸ Χερυβικὸν, καταναόσῃ τῦτο ποιησάτω ταύτην ἐξ ὑπαρχῆς, ἐπιλέγων τὰ προφητικὰ λόγια, ἢ τὰ λοιπὰ, ἃ ὠ ἔθει ἔσι λέγεσθαι, ἢ τὴν εὐχὴν τῆς Προθέσεως. ὡσαυτως τῦτ' αὐτὸ ποιέτω ἢ ἐὰν ἐκχύσῃ τὰ ἅγια ὅλα ὠ τῷ Χερυβικῷ. (εἰ γὰρ ὐκ ἀπομένωσι, προσιθέτω μόνον τὰ ἱκανὰ, μηδὲν αὐτοῖς ἐπιλέγων). τὰ δὲ ἐκχυθέντα ὕτως ἀκριβῶς ὀφείλει ἐκμάσσειν τῦ ἐδάφυς, ὡς εἴ γε ἢ μάρμαρα εἶεν, ἀποξέειν αὐτά. ὅλα πυρὸς ἢ ὕδατος ἀλλοιυμένυ τῦτό πυ. τὰ δὲ ξέσματα, εἰς τὸ χωνευτήριον ῥίπτειν. οἷα γὰρ ποτήριον Ἱερόν ἐσι τῦτο. αὐτὸς δὲ μετρίως ἐπιτιμάσθω ὅλα τὸ ἀπροσεκτον. Εἰ δὲ ταῦτα συνέβη μετὰ τὴν τελείωσιν τῦ ἁγιασμῦ, πλέον κολασθήσεται ὁ Ἱερεύς. ὅρα ἢ Βαλσαμῶν ἀποκρίσει πρὸς Μάρκον, κ'. εἰ δὲ ἐπάνω τῶν ἱερῶν ἀμφίων ἐξεχύθησαν, εἰ μὲν πρὸ τῆς τελειώσεως, ἐκπλυθήτωσαν μόνον ἐκεῖνα. εἰ δὲ μετὰ τὴν τελείωσιν, ἐκκοπτέσθωσαν ἀπαραιτήτως.

ΚΑΝΩΝ ΙΕ'. (α)

Μόνοι οἱ Κανονικοὶ Ψάλται ἐπ' ἀμβωνος, καὶ ἀπὸ διφθέρας (1) ψαλλέτωσαν.

ΚΑΝΩΝ Ις'.

Δεον τὰ Εὐαγγέλια (2) ἐν σάββασιν ἀναγινώσκεσθαι μετὰ καὶ ἑτέρων Γραφῶν.

ΚΑΝΩΝ ΙΖ'.

Μὴ δεῖν τοὺς Ψαλμοὺς ἐπισυνάπτειν (3) ἐν τῇ Ἐκκλησίᾳ, ἀλλὰ διὰ μέσου τούτων γίνεσθαι ἀνάγνωσιν.

ΚΑΝΩΝ ΙΗ'. (ε)

Περὶ τοῦ τὰς αὐτὰς Εὐχὰς (4) πάντοτε καὶ ἐν ἐννάταις, καὶ ἑσπέρας ἐπιτελεῖν δεῖν.

ΚΑ-

(α) Τῆς ς'. λγ'. σέ. Λαοδικείας κγ'.

τως, καὶ καλύμματα γινέσθωσαν. (Συμεὼν Θεσσαλον'. Ἀποκρίσει, πα'. καὶ Κίτρους Ἀποκρ. ια'.) Τὰ αὐτὰ γίνεσθαι καὶ εἴτε ὑπὸ Ζωΐφου τινὸς ἐρωθησαν. αὐτὸ δὲ τὸ Ζωΐφιον, ἔγε συλληφθῇ, βαπτέσθω πυρὶ τῆς γῆς.

(1) Διφθέρας τὰς Μεμβράνας, κατὰ τὸν θεῖον Παῦλον (β'. Τιμοθ'. δ'. 13.). ταυτὸν εἰπεῖν, τὰ Ἐκκλησιαστικὰ βιβλία λέγει.

(2) Ἔοικε μήπω τότε τὴν κατάστασιν τῶν Ἐκκλησιῶν εἶναι οἵα μετὰ ταῦτα ἐγίνετο, ἀλλ' ὅτε οἱ πιστοὶ συνηθροίζοντο, εὐχαὶ μόνον ἐγίνοντο, καὶ προσέφερον τὴν ἀναίμακτον θυσίαν οἱ Ἱερεῖς (Ζωναρ.). ὁ δὲ Βαλσαμ. λέγει ὅτι, διὰ τοῦτο διωρίσθη ὁ παρὼν Κανὼν, διὰ ὅτι πολλοὶ Χριστιανοὶ τότε ἰδιῶται ὄντες καθὼς ἤρχοντο πάντες ἐργοχείρως ὡς τῷ Σαββάτῳ οὕτως ἤρχοντο καὶ τὸ ψάλλειν ἱερὰ ψαλτικὰ ῥήματα, ὅθεν ἐπισκήπτει ἡ Σύνοδος, ἀναγινώσκειν Εὐαγγέλια, καὶ ἁγίας ἄλλας Γραφάς.

(3) Διὰ τοῦτο ὁ Κανὼν ἀπείργει τὴν συνεχῆ ἀνάγνωσιν τῶν Ψαλμῶν. ἵνα μὴ διὰ τὸ ἐκτεταμένον, ἀηδίζηται ὁ λαὸς καὶ ἢ τῆς Ἐκκλησίας ἐξέρχονται, ἢ ὑποκαθέζωσιν. εἰ δὲ ὡς τοῦτο ἔθισαν ὡς τοῖς κατὰ τὸ Ἅγιον Ἱεροῖς Μοναστηρίοις) νεαρώτερος οἷον ὁ νῦν γινόμενος, ὡς φησιν ὁ μέγας Βασίλειος (Ἀποκρ. λζ'. τῶν κατὰ πλάτος ὅρων περὶ τὸ τέλος) διὰ τὸ ποικίλον τῆς ἀκολουθίας. πρεσβυμώτερον πάλιν ἄρχεται τῶν Ψαλμῶν. ταύτη τοι καὶ εἰς πολλὰ καθίσματα μεμέρισται τὸ θεῖον Ψαλτήριον.

(4) Τὴν αὐτὴν ἀκολουθίαν καὶ τάξιν φυλάττειν εἰκὸς καὶ ὡς ταῖς ἐννάταις κέ. ταῖς παλαιαῖς δηλαδὴ χρῆσθαι, καὶ μὴ νέας συντιθέναι, καὶ οἵας ἂν βούληται ἕκαστος εὐχάς.

ΚΑΝΩΝ ΙΘ'. (α)

(1) Περὶ τὸ δεῖν πρῶτον ὁμιλῆσαι τοὺς Ἐπισκόπους. εἶτα, τελεσθείσης τῆς Εὐχῆς τῶν κατηχουμένων (2), ἐξελθεῖν αὐτοὺς τοὺς κατηχουμένους. μεθ' ὃ γίνεσθαι τὴν Εὐχὴν τῶν ἐν μετανοίᾳ (3), προσερχομένων ὑπὸ χεῖρα (4), ἢ εἶτα ὑποχωρούντων. μεθ' ἣν τὴν ὑποχώρησιν, γίνεσθαι τὰς Εὐχὰς τῶν πιστῶν, τὴν μὲν Πρώτην, μυστικῶς, τὰς δὲ ἑξῆς, ἐκφώνως (5). εἶθ' οὕτω δίδοσθαι τὴν εἰρήνην (6), ἀ. παρὰ τῶν Πρεσβυτέρων τῷ Ἐπισκόπῳ. ἢ μετὰ τούτους, παρὰ τῶν Λαϊκῶν ἀλλήλοις, ἢ οὕτως ἐπιτελεῖσθαι τὴν ἁγίαν προσφορὰν. μόνοις δὲ τοῖς Ἱερατικοῖς ἐξὸν εἰς τὸ Θυσιαστήριον εἰσιοῦσι κοινωνεῖν.

ΚΑΝΩΝ Κ'. (β)

Οὐκ ἔξεστι Διακόνῳ, χωρὶς κελεύσεως, ἔμπροσθεν Πρεσβυτέρου, ἢ ὑπηρετεῖν, ἢ ἔμπροσθεν Διακόνου καθέζεσθαι. ὁμοίως καὶ ἐπὶ τῶν ἄλλων.

ΚΑ-

(α) Τῆς ά. ιδ'. (β) Τῆς ά. ιῆ.

(1) Δῆλον ὅτι οὐταῦθα περὶ τῆς τάξεως τῆς θείας λειτουργίας διαλέγεται ὁ Κανών.

(2) Ἥτις καὶ ἄρτι λέγεται οὐ ταῖς Ἱερουργίαις.

(3) Τῶν πιστῶν μοὐ, ἀλλ' οὐ μετανοίᾳ ὄντων διὰ ἁμαρτήματα, ἃ ἐποίησαν.

(4) Ἐπιτιθεμένης καὶ τῆς χειρὸς τοῦ Ἱερέως ἐπὶ τὰς κεφαλὰς αὐτῶν (περὶ ἧς ὅρα τὸν, ιδ'. τῆς ά.) αὕτη δὲ ἡ εὐχὴ, ἥδη καὶ λέγεται.

(5) Ἥδη δὲ δύο μόνον λέγονται, τῶν πιστῶν, καὶ αὗται μυστικῶς, ὡς φαίεται οὐ ταῖς λειτουργίαις.

(6) Εἰρήνη ἐστὶν, ὁ ἀσπασμὸς. ὃς ἀγάπης καὶ εἰρήνης πίστιν σύμβολον: Καὶ τελευταῖον, ἐλειτουργεῖτο ἡ μετανοιοῦσα. ὁ δὲ ἀσπασμὸς ἀρχαιότατον ἔθος οὐ τῇ λειτουργίᾳ ὡς φασιν οἱ ἅγιοι. (Βασιλ. ἐ. κεφ. νζ'.). Ἰουστῖνος ὁ Φιλόσ. (Ἀπολογία ά.) Κλήμης ὁ Ἀλεξανδρεὺς (παιδαγωγ. γ'.). Κύριλλος Ἱεροσολύμων (κατηχ. έ.). Εὐσέβιος Ἀργωτης (σελ. 275.).

ΚΑΝΩΝ ΚΑ'. (α)

Οὐ δεῖ χώραν ἔχειν ὑπηρέτας (1) ἐν τῷ Διακονικῷ (2), ἢ ἅπτεσθαι Δεσποτικῶν σκευῶν (3).

ΚΑ-

(α) Τῆς ς'. ιέ.

(1) Ὑπηρέτας ἤγουν ὁ Ζωναρᾶς ἢ ὁ Βαλσαμών, ἢ ὁ Βλάσαρ. τοὺς Ὑποδιακόνους βούλονται, ἄνευ τοῦ Φορεῖν Ὀράριον, ὃς ἤγουν θεραπευτὰς καλεῖ Βλάσαρις (ἐν τῷ, υ, στοιχείῳ, ἢ ἐν τῷ θ'. τοῦ ε. στοιχείου). ὅρα δὲ Διονύσ. τὸν Ἀρεοπαγίτ. (Ἐκκλησιαστικῇ Ἱεραρχίᾳ, τόμ. ά. κεφ. ς'. σελίδι 250.) τοὺς Μοναχοὺς θεραπευτὰς καλοῦντα.

